AB
104087

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Wo We

Ba. 142b.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Kleine Homerische Anthologie,

zum Nutzen der studirenden Jugend herausgegeben.

Stadt-Gymnasium zu HALLE a/S.

Leipzig, 1787.
Bey Siegfried Lebrecht Crusius.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Vorrede.

Das Bedürfniß der meinem Unterrichte anvertrauten jungen Leute hat diese kleine Homerische Anthologie hervorgebracht. Ich wünschte mit diesen im bevorstehenden Winter ein Stück aus dem Homer zu lesen. Da es ihnen aber an Exemplaren dieses Dichters fehlte, und da, – man muß das aus eigner Erfahrung wissen, sonst wird man sich nicht so leicht davon überzeugen, – für bey weitem den größesten Theil der Schüler, auch ein Thaler, wofür die würklich so brauchbare Handausgabe der Iliade oder Odyssee Homers von Herrn Prof. Wolf in Halle, zu haben steht, – schon viel Geld ist; so gerieth ich auf den Gedanken, einige der angenehmsten und junge Leute am meisten anziehenden Stücke aus der Odyssee dieses Dichters besonders abdrucken zu lassen, daß meine Schüler für einige Groschen doch den Text besitzen möchten, welchen ich in den Stunden alsdenn ihnen erklären wollte.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Weiter kann ich mein Unternehmen mit nichts rechtfertigen, und ich muß es darauf ankommen lassen, ob man, hiemit zufrieden, es nicht misbilligt.

Was die Einrichtung dieser wenigen Bogen selbst betrift; so habe ich aus dem neunten und zehnten Buche der Odyssee diejenigen Stucke gewählt, welche, mit dem Horaz zu reden, speciosa miracula enthalten, und welche den Knaben und Jüngling immer reizen, und seine Gedanken gleichsam an sich fesseln. Den Text habe ich so genommen, wie Herr Prof. Wolf ihn nach den Glasgauern gegeben hat; und zu desto leichterer Vorbereitung auf die jedesmalige Lection habe ich ein zwar nicht alle, aber doch die meisten Wörter enthaltendes Register beygefügt, und unter den Text die Stammwörter der schwerern Formen gesetzt. Die Accente, als bey einem Dichter überflüssig, habe ich nach Gedike und Seybold weggelassen. Geschrieben O. den 1sten Octobr. 1786.

Ein-

Einiges
von dem Leben des Homers, und seinen uns noch übrigen Schriften.

Homer, über dessen Vaterland man schon in alten Zeiten nicht einig werden konnte, scheint ein Aeolier oder Jonier, und sein Geburtsort Smyrna oder Chios gewesen zu seyn. Er lebte ohngefähr in der ersten Hälfte des 31sten Jahrhunderts der Welt, und ist der älteste Dichter und Schriftsteller unter den Griechen, von denen uns noch ganze Werke übrig sind.

Schon in den ältesten Zeiten hielt man unsern Dichter sehr in Ehren, und ein Beweis, daß das nicht unverdienter Weise geschah, ist, daß man ihn bis jetzt immer noch studirt, und ihn schätzt, weil man ihn stets vortreflich findet. — So legten in jenen entferntern Zeiten ihre Ehrerbietung gegen den Homer, nicht nur Solon und

*) Mehreres findet man in Kusteri histor. critica Homeri, welche vor der Ausgabe des Herrn Prof. Wolf abgedruckt stehet; und in Woods Versuch über das Originalgenie des Homers; u. a. m.

und Lycurg, Pisistratus und Hipparchus, dadurch, daß sie seine zerstreueten Rhapsodien sammleten, und Alcibiades und Alexander der Große auf andre Weise, an den Tag; sondern ganze Städte und Länder bewiesen, wie werth der Dichter ihnen wäre, indem sie sein Bildniß auf Münzen prägten, und seine Schriften als eine Urkunde ansahen, aus welcher dieses und jenes unbezweifelt dargethan werden könne.

Uebrigens hat fast jeder nach dem Homer lebende Dichter aus ihm geschöpft, und ihn nachgeahmt. Und nicht nur bey seinem Volke in Griechenland waren seine Schriften bekant, geehrt und beliebt: — auch auswärtige Nationen schätzten ihn, und wir wissen das vornehmlich von den Römern; wir wissen, daß er in Rom fast von jedermann gelesen wurde.

Seine uns noch übrige Schriften sind: 1. Die Ilias, ein Gedicht in 24 Gesängen; worin er den Zorn des Achilles, als des tapfersten Helden vor Troja, — die daher entstandenen unglücklichen, und vornehmlich auf Seiten der Griechen blutigen Niederlagen, — eben dieses Achilles Aussöhnung mit dem ersten Heerführer, Agamemnon, — und die darauf durch jenen verursachten, für die Trojaner so schädlichen Folgen besingt. 2. Die Odyssea, worin der Dichter in eben so viel Büchern die Rückkehr des Ulysses in sein Vaterland Ithaca erzählt. 3. Kleinere Gedichte; als: die Batrachomyomachie, Hymnen an die Götter, und Epigrammen,

men, von welchen kleinern Stücken es aber noch zweifelhaft ist, ob sie würklich vom Homer sind.

Aeltere und neuere Gelehrte haben dieses ersten Dichters Werke, aber lange noch nicht hinlänglich, behandelt und erläutert. Der Verfasser des Etymologici M. und Eustathius sind unter den Griechen seine besten Commentatoren. Clarcks Ausgabe, und diese von Ernesti wieder erneuert, sind jedem bekant: und neuerlich hat Herr Prof. Wolf in Halle, der Jugend zum Besten, eine vollständige und wohlfeile Ausgabe der Schriften dieses Dichters besorgt, Halle, 2 B. kl. 8. 1784 und 1785.

Unter den neuern Schriften über den Homer sind zu merken.

a) Woods Versuch über das Originalgenie des Homers, die 2te Ausg. Lond. 1775. in 4. Ins Deutsche übersetzt, Frankfurt a. M. 1773.

b) Blackwells Untersuchung über das Leben und die Werke Homers, die 2te Ausg. Lond. 1736. 8. übers. von Herrn Hofr. Voß.

c) Ueber das Studium des Homers in niedern und höhern Schulen. Leipz. 1783. (von H. Mag. Schott.)

d) Schreiben über den Homer an die Freunde der griech. Litteratur von Seybold. Eisenach, 1772. 8.

e) Ueber den Plan einer neuen Ausgabe des Homers, od. De nova Hom. editione, ein Brief von Hrn Hofr. Heyne, an Herrn Prof. Tychsen. Göttingen, 1783.

f) Ho-

f) Homeri Hymnus in Cererem nuper repertus a D. Ruhnkenio. Accedunt epp. crit. Lugd. Bat. 1782.

g) Erklärende Anmerkungen zum Homer, von Herrn Director Köppen, an welchen noch gearbeitet wird.

Eine französische Uebersetzung haben wir von der Mad. Dacier, in 6 B. Deutsch haben die Iliade der Herr Graf von Stollberg und Herr Bürger, die Odyssee Bodmer und Voß übersetzt.

Unter den englischen Uebersetzungen ist die bekanteste und beste von Pope; über welche in folgenden Versen jemand ein richtiges Urtheil gefällt hat:

Pop' hat Homers Gemählde gestochen;
Bis hieher gut; Dolmetscher können nicht anders!
Allein er hat die freien Gestalten
Verzeichnet; hat die weichen Ründen durch Schärfen und Ecken
Unkenntlich gemacht, — den Griechen verschönert.

Kurze

Kurze Einleitung.

Ulysses, einer der ersten Helden unter jenen Griechen, welche Troja zerstört haben sollen, war auf seiner Rückreise von daher, da man in den damaligen Zeiten die Gewässer noch nicht so genau kannte, und immer noch, wegen der Unvollkommenheit der Schiffarth überhaupt, an den Ufern herum fahren muste, durch Sturm weit in das Mittelländische Meer hinein verschlagen worden. Endlich nach vielen ausgestandenen Strapazen, und nach eben so vielen vergeblichen Versuchen, wieder in seine Insel Ithaka, über welche er König war, zurück zu gelangen, hatte er es doch so weit gebracht, daß, nachdem er seine Leute und sein Hab' und Gut verlohren hatte, und sein Schiff gescheitert war, er mit genauer Noth, nackt und bloß, kaum noch lebendig, an die Küste eines Landes, in welchem ein Volk, Phäacier genannt, wohnte, dessen König Alcinous hieß, getrieben wurde. Dieses Volk scheint, nach Homerischer Erzählung, mehrere körperliche und auch geistige Fertigkeiten besessen zu haben, und wie überhaupt die Phäacier keine unbedeutende Colonien in jenen Zeiten seyn mochten; so war auch der Hof des Alcinous sehr glänzend. Von diesem Volke und Fürsten wurde unser

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Held alſo in den trübſeligen Umſtänden aufgenommen, und mit einer Gaſtfreyheit bewirthet, die dem Hofe des Alcinous noch jetzt Ehre macht. Aber dafür muſte er denn auch den Leuten etwas zum Beſten geben, und das that er, indem er ihnen ſeine beſtandenen Abentheuer auftiſchte; und aus dieſer Erzählung ſind folgende Stücke hergenommen.

Ulyſſe

I.

Ulysses und die Eiconen.

Ιλιοθεν με φερων ανεμος Κικονεσσι πελασσεν,
Ισμαρῳ· ενθα δ' εγων πολιν επραθον a), ωλεσα b) δ' αυτους.
Εκ πολιος δ' αλοχους και κτηματα πολλα λαβοντες c)
Δασσαμεθ' d), ὥς μητις μοι ατεμβομενος κιοι ισης.
Ενθ' ητοι μεν εγω διερῳ ποδι φευγεμεν e) ἡμεας
Ηνωγεα· f) τοι δε μεγα νηπιοι ουκ επιθοντο· g)
Ενθα δε πολλον μεν μεθυ πινετο, πολλα δε μηλα
Εσφαζον h) παρα θινα, και ειλιποδας ἑλικας βους.

a) περθω. b) ολλυμι. c) λαμβανω. d) δαζω e) Φευγω. f) ανωγεω. g) πειθω. h) σφαζω.

Τοφρα δ' αρ' οιχομενοι Κικονες Κικονεσσι γεγωνευν, i)
Οἱ σφισι γειτονες ησαν ἁμα πλεονες και αρειους, l)
Ηπειρον ναιοντες, επισταμενοι μεν αφ' ἱππων
Ανδρασι μαρνασθαι, και ὁθι χρη πεζον εοντα. m)
Ηλθον n) επειθ', ὁσα φυλλα, και ανθεα γινεται ὡρῃ,
Ηεριοι· τοτε δη ῥα κακη Διος αισα παρεστη o)
Ἡμιν αινομοροισιν, ἱν' αλγεα πολλα παθωμεν. p)
Στησαμενοι q) δ' εμαχοντο r) μαχην παρα νηυσι θοῃσι·
Βαλλον s) δ' αλληλους χαλκηρεσιν εγχειῃσιν.
Οφρα μεν ηως ην, και αεξετο t) ἱερον ημαρ,
Τοφρα δ' αλεξαμενοι u) μενομεν x) πλεονας περ εοντας,
Ημος δ' Ηελιος μετενισσετο y) βουλυτονδε
Και τοτε δη Κικονες κλιναν z) δαμασαντες a) Αχαιους

Ἑξ

i) γεγωνω. l) αρειων. m) ειμι. n) ερχομαι. o) παριστημι. p) πασχω. q) ἱστημι. r) μαχομαι. s) βαλλω. t) αεξω. u) αλεγω. x) μενω. y) μετανιζομαι. z) κλινω. a) δαμαω.

Ἑξ δ' αφ' ἑκαστης νηος εὐκνημιδες ἑταιροι
Ωλονθ'. b) οἱ δ' αλλοι φυγομεν θανατον τε μορον τε.

II.

Die Lotophagen.

Ενθεν δε προτερω πλεομεν ακαχημενοι ητορ,
Ασμενοι εκ θανατοιο, φιλους ολεσαντες c) ἑταιρους.
Ουδ' αρα μοι προτερω νηες κιον d) αμφιελισσαι,
Πριν τινα των δειλων ἑταρων τρις ἑκαστον αὐσαι e)
Οἱ θανον f) εν πεδιῳ Κικονων ὑπο δηιωθεντες. g)
Νηυσι δ' επωρσ' h) ανεμον Βορεην νεφεληγερετα Ζευς
Λαίλαπι θεσπεσιῃ, συν δε νεφεεσσι i) καλυψε l)
Γαιαν ὁμου και ποντον ορωρει m) δ' ουρανοθεν νυξ.

b) Ολλυμι. c) ολλυμι. d) κιω. e) αὔω. f) θνησκω. g) δηιαω. h) εποgω. i) νεφος. l) καλυπτω. m) ορω.

'Αι μεν επειτ' εφεροντ' n) επικαρσιαι, ἱςια δε σφιν o)
Τριχθα τε και τετραχθα διεσχισεν p) ις ανεμοιο.
Και τα μεν ες νηας καθεμεν q) δεισαντες r) ολεθρον,
Αυτας δ' εσσυμενως προερυσσαμεν s) ηπειρονδε.
Ενθα δυω νυκτας, δυο τ' ηματα t) συνεχες αιει
Κειμεθ', u) ὁμου καματῳ τε και αλγεσι θυμον εδοντες.
Αλλ' ὁτε δη τριτον ημαρ εὐπλοκαμος τελεσ' x) Ηως,
'Ιστȣς ςησαμενοι, ανα θ' ἱστια λευκ' ερυσαντες
'Ημεθα· y) τας δ' ανεμος τε, κυβερνηται τ' ιθυνον.
Και νυ κεν ασκηθης ἱκομην z) ες πατριδα γαιαν,
Αλλα με κυμα, ῥοος τε, περιγναμπτοντα Μαλειαν,

Και

n) φερω. o) für σφισι, v. ȣ pron. p) διασχιζω. q) καθιημι. r) δειδω. s) προερυω. t) ημαρ. u) κειμαι. x) τελεω. y) ημαι. z) ἱκομαι.

Και Βορεης απεωσε, a) παρεπλαγξε b) δε Κυθηρων.
Ενθεν δ' εννημαρ φερομην ολοοις ανεμοισι
Ποντον επ' ιχθυοεντ'· c) αυταρ δεκατῃ επεβημεν d)
Γαιης Λωτοφαγων, ὁιτ' ανθινον ειδαρ εδουσιν.
Ενθα δ' επ' ηπειρου βημεν, e) και αφυσσαμεθ' f) ὑδωρ·
Αιψα δὲ δειπνον ἑλοντο g) θοῃς παρα νηυσιν ἑταιροι.
Αυταρ επει σιτοιο τ' επασσαμεθ' h), ηδε ποτητος,
Δη τοτ' εγων ἑταρους προΐην i) πευθεσθαι l) ιοντας, m)
Ανδρε δυω κρινας, n) τριτατον κηρυχ' o) ἁμ' οπασσας, p)
Ὁιτινες ανερες ειεν q) επι χθονι σιτον εδοντες.
Ὁι δ' αιψ' οιχομενοι μιγεν r) ανδρασι Λωτοφαγοισιν.

Ουδ'

a) απωθεω. b) παραπλαζω. c) ιχθυοεις. d) επιβαινω. e) βαινω. f) αφυω. g) αἱρεω. h) πασσομαι. i) προιημι. l) πυνθανομαι. m) εἰμι. n) κρινω. o) κηρυξ. acc. für κηρυκα. p) οπαζω. q) ειμί. r) μιγνυμι.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Ουδ' αρα Λωτοφαγοι μηδονθ' s) έταροισιν ολεθρον
Ήμετεροις, αλλα σφι δοσαν t) λωτοιο πασασθαι. u)
Των δ' όττις λωτοιο φαγοι μελιηδεα καρπον,
Ουκ ετ' απαγγειλαι x) παλιν ηθελεν y), ουδε νεεσθαι· z)
Αλλ' αυτου βουλοντο μετ' ανδρασι Λωτοφαγοισι
Λωτον ερεπτομενοι μενεμεν, νοστου τε λαθεσθαι. a)
Τους μεν εγων επι νηας αγον κλαιοντας αναγκη,
Νηυσι δ' ενι γλαφυρῃσιν ύπο ζυγα δησα b) ερυσσας. c)
Αυταρ τους αλλους κελομην d) εριηρας έταιρους
Σπερχομενους νηων επιβαινεμεν e) ωκειαων, f)
Μη πω τις λωτοιο φαγων νοστοιο λαθηται. g)
Όι δ' αιψ' εισβαινον, και επι κληισι καθιζον·
Έξης δ' έζομενοι πολιην αλα τυπτον ερετμοις.

s) μηδομαι. t) διδωμι. u) πασσομαι. x) απαγγελλω. y) εθελω. z) νεομαι. a) λανθανομαι. b) für εδησα v. δεω. c) ερυω. d) κελευω. e) επιβαινω. f) ωκυς, εια, υ. g) λανθανομαι.

III.

Die Cyclopen.

Ενθεν δε προτερω πλεομεν, ακαχημενοι ητορ.
Κυκλωπων δ' ες γαιαν ὑπερφιαλων, αθεμιστων,
Ἱκομεθ'. ὁι ῥα θεοισι πεποιθοτες h) αθανατοισιν
Ουτε φυτευουσι χερσι i) φυτον, ουτ' αροωσιν· l)
Αλλα ταγ' ασπαρτα και ανηροτα παντα φυονται,
Πυροι, και κριθαι, ηδ' αμπελοι, ἁιτε φερουσιν
Οινον εριςαφυλον, και σφιν Διος ομβρος αεξει. m)
Τοισιν δ' ουτ' αγοραι βουληφοροι, ουτε θεμιστες.
Αλλ' ὁιγ' ὑψηλων ορεων ναιουσι καρηνα,
Εν σπεσσι n) γλαφυροισι· θεμιστευει δε ἑκαστος
Παιδων ηδ' αλοχων· ουδ' αλληλων αλεγουσι.
Νησος επειτ' ελαχεια παρεκ λιμενος τετανυσται o)

Γαιης

h) πειθω. i) χειρ. l) αροω. m) αεξω. n) σπεος. o) τανυω.

Γαιης Κυκλωπων, ουτε σχεδον, ουτ᾽ αποτηλου,
Ὑλησσ᾽ εν δ᾽ αιγες p) απειρεσιαι γεγαασιν q)
Αγριαι· ου μεν γαρ πατος ανθρωπων απερυκει, r)
Ουδε μιν εισοιχνευσι s) κυνηγεται, ὁιτε καθ᾽ ὑλην
Αλγεα πασχουσι, κορυφας ορεων εφεποντες.
Ουτ᾽ αρα ποιμνῃσι καταισχεται, t) ουτ᾽ αροτοισιν,
Αλλ᾽ ἡγ᾽ ασπαρτος και ανηροτος ηματα παντα
Ανδρων χηρευει, βοσκει δε τε μηκαδας αιγας.
Ου γαρ Κυκλωπεσσι νεες παρα μιλτοπαρῃοι,
Ουδ᾽ ανδρες νηων ενι τεκτονες, ὁι κε καμοιεν u)
Νηας ἐϋσσελμους, ἁι κεν τελεοιεν x) ἑκαστα,
Αστε᾽ επ᾽ ανθρωπων ἱκνευμεναι· y) ὁια τε πολλα
Ανδρες επ᾽ αλληλους νηυσι περοωσι z) θαλασσαν·

Ὁι

p) αιξ. q) γινομαι perf ion. γεγαα. r) απερυκω s) εισοιχνεω. t) κατισχομαι, poet. καταϊσχομαι. u) καμνω. x) τελεω. y) für ικνευμεναι v. ικνεομαι. z) πειρω, oder περοω, περαω.

῾Οι κε σφιν και νησον ἐϋκτιμενην εκαμοντο. a)
Ου μεν γαρ τι κακη γε, φεροι δε κεν ὡρια παντα.
Εν μεν γαρ λειμωνες ἁλος πολιοιο παρ' οχθας
῾Υδρηλοι, μαλακοι· μαλα κ' αφθιτοι αμπελοι ειεν.
Εν δ' αροσις λειη· μαλα κεν βαθυ λη̈ιον αιεν
Εις ὡρας αμωεν· b) επει μαλα πιαρ επ' ουδας.
Εν δε λιμην ευορμος, ἱν' ου χρεω πεισματος εστιν,
Ουτ' ευνας βαλεειν, c) ουτε πρυμνησι' αναψαι d),
Αλλ' επικελσαντας e) μειναι f) χρονον, εισοκε ναυτεων
Θυμος εποτρυνῃ, g) και επιπνευσωσιν h) αηται.
Αυταρ επι κρατος i) λιμενος ῥεει αγλαον ὑδωρ
Κρηνη ὑπο σπειους l)· περι δ' αιγειροι πεφυασιν. m)
Ενθα κατεπλεομεν, n) και τις θεος ἡγεμονευε o)

Νυκτα

a) καμνω. b) optat. v. αμαω. c) βαλλω. d) αναπτω. e) επικελλω. f) μενω. g) εποτρυνω. h) επιπνεω. i) κρας. l) σπεος. m) φυω. n) καταπλεω. o) ἡγεμονευω.

Νυκτα δι' ορφναιην· ουδε προυφαινετ' ιδεσθαι· p)
Αηρ γαρ παρα νηυσι βαθει' ην, ουδε σεληνη
Ουρανοθεν προυφαινε· κατειχετο q) γαρ νεφεεσσιν.
Ενθ' ουτις την νησον εσεδρακεν r) οφθαλμοισιν·
Ουτ' ουν κυματα μακρα κυλινδομενα s) ποτι χερσον
Εισιδομεν, t) πριν νηας εΰσσελμους επικελσαι.
Κελσασησι δε νηυσι, u) καθειλομεν x) ίστια παντα·
Εκ δε και αυτοι βημεν επι ῥηγμινι θαλασσης·
Ενθα δ' αποβριξαντες y) εμειναμεν Ηω διαν.
Ημος δ' ηριγενεια φανη z) ῥοδοδακτυλος Ηως,
Νησον θαυμαζοντες εδινεομεσθα a) κατ' αυτην.
Ωρσαν b) δε Νυμφαι, κουραι Διος αιγιοχοιο,
Αιγας ορεσκωους, ίνα δειπνησειαν c) έταιροι.
Αυτικα καμπυλα τοξα και αιγανεας δολιχαυλους

Ἑιλο-

p) ειδω. q) κατεχομαι. r) εισδερκομαι. s) κυλινδομαι. t) εισειδω. u) ναυς. dativi consequent. x) καθαιρεω. y) μενω. z) φαινω. a) δινεομαι. b) ορω. c) δειπνεω.

Ἑιλομεθ' d) εκ νηων δια τε τριχα κοσμηθεντες e)
Βαλλομεν αιψα δ' εδωκε f) θεος μενοεικεα θηρην.
Νηες μεν μοι ἑποντο g) δυωδεκα, ες δε ἑκαστην
Εννεα λαγχανον αιγες εμοι δε δεκ' εξελον h) οιω.
Ὡς τοτε μεν προπαν ημαρ, ες ηελιον καταδυντα, i)
Ἡμεθα l) δαινυμενοι κρεα τ' ασπετα, και μεθυ ἡδυ.
Ου γαρ πω νηων εξεφθιτο m) οινος ερυθρος,
Αλλ' ενεην· n) πολλον γαρ εν αμφιφορευσιν ἑκαστοι
Ηφυσαμην, o) Κικονων ἱερον πτολιεθρον ἑλοντες. p)
Κυκλωπων δ' ες γαιαν ελευσσομεν, q) εγγυς εοντων, r)
Καπνον τ', αυτων δε φθογγην, οἰων s) τε και αιγων.

Ημος

d) αιρεω. e) κοσμεω. f) διδωμι. g) εσπομαι. h) εξαιρεω. i) καταδυμι. l) ημαι. m) εκφθιω. n) ενειμι. o) αφυω. p) αιρεω. q) λευσσω. r) ειμι. s) οἶς.

Ημος δ' ηελιος κατεδυ, t) και επι κνεφας ηλθε, u)
Δη τοτε κοιμηθημεν x) επι ῥηγμινι θαλασσης.
Ημος δ' ηριγενεια φανη ῥοδοδακτυλος Ηως
Και τοτ' εγων αγορην θεμενος, y) μετα πασιν εειπον. z)

Αλλοι μεν νυν μιμνετ' a) εμοι εριηρες ἑταιροι·
Αυταρ εγω συν νηϊ τ' εμῃ και εμοις ἑταροισιν
Ελθων τωνδ' ανδρων πειρησομαι, b) ὁι τινες εισιν·
Η ῥ' ὁιγ' ὑβρισαι τε και αγριοι, ουδε δικαιοι,
Ηε φιλοξεινοι, και σφιν νοος εστι θεουδης.

Ως ειπων, ανα νηος εβην· c) εκελευσα δ' ἑταιρους,
Αυτους τ' αμβαινειν, d) ανα τε πρυμνησια λυσαι.
Οἱ δ' αιψ' εισβαινον, και επι κληϊσι καθιζον.
Ἑξης δ' ἑζομενοι πολιην ἁλα τυπτον ερετμοις.

Αλλ'

t) καταδυμι. u) ερχομαι. x) κοιμαω. y) τιθημι. z) επω. a) μιμνω. b) πειραω. c) βαινω. d) αναβαινω vd. αμβαινω.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Αλλ' ὁτε δη τον χωρον αφικομεθ' e) εγγυς εοντα,
Ενθα δ' επ' εσχατιῃ σπεος ειδομεν, αγχι θαλασσης,
Ὑψηλον, δαφνῃσι κατηρεφες· ενθα δε πολλα
Μηλ', οϊες τε και αιγες ιαυεσκον· f) περι δ' αυλη
Ὑψηλη δεδμητο g) κατωρυχεεσσι λιθοισι,
Μακρῃσι τε πιτυσσιν, ιδε δρυσιν ὑψικομοισιν.
Ενθα δ' ανηρ ενιαυε πελωριος, ὁς ῥα τε μηλα
Οιος ποιμαινεσκεν h) αποπροθεν· ουδε μετ' αλλους
Πωλειτ', i) αλλ' απανευθεν εων αθεμιστια ηδη. l)
Και γαρ θαυμ' ετετυκτο m) πελωριον· ουδε εῳκει n)
Ανδρι γε σιτοφαγῳ, αλλα ῥιῳ ὑληεντι
Ὑψηλων ορεων, ὁτε φαινεται οιον απ' αλλων.
Δη τοτε τους αλλους κελομην o) εριηρας ἑταιρους
Αυτου παρ νηΐ τε μενειν, και νηα ερυσθαι. p)

Αυταρ

e) αφικομαι. f) ιαυω. imperf. ion. g) δεμω. h) ποιμαινω. ist ionische Form. i) πωλεομαι. l) ειδω. m) τευχω. n) εικω. o) κελευω od. κελομαι. p) ερυω.

Αυταρ εγω κρινας ἑταρων δυοκαιδεκ' αριστους
Βην· q) αταρ αιγεον ασκον εχον μελανος οινοιο,
Ἡδεος, r) ὁν μοι εδωκε Μαρων, Ευανθεος ὑιος,
Ἱρευς Απολλωνος, ὁς Ισμαρον αμφιβεβηκει· s)
Ὁυνεκα μιν συν παισι περισχομεθ' t) ηδε γυναικι
Ἁζομενοι· ῳκει u) γαρ εν αλσεϊ δενδρηεντι
Φοιβου Απολλωνος· ὁ δε μοι πορεν αγλαα δωρα.
Χρυσου μεν μοι δωκ' ευεργεος ἑπτα ταλαντα.
Δωκε δε μοι κρητηρα πανεργυρον· αυταρ επειτα
Οινον εν αμφιφορευσι δυωδεκα πασιν αφυσσας
Ἡδυν, ακηρασιον, θειον ποτον· ουδε τις αυτον
Ηειδει x) δμωων, ουδ' αμφιπολων ενι οικῳ,
Αλλ' αυτος τ', αλοχος τε φιλη, ταμιη τε μι' οιη.
Τον δ' ὁτε πινοιεν μελιηδεα οινον ερυθρον,
Ἑν δεπας εμπλησας, y) ὑδατος ανα εικοσι μετρα

Χευ'

q) βαινω. βην für εβην. r) ηδυς. s) αμφιβαινω. t) περιεχω, od. περισχομαι. u) οικεω. x) ειδω. y) εμπλημι.

Χευ᾽· z) οδμη δ᾽ ἡδεια απο κρητηρος οδωδει, a)
Θεσπεσιη᾽ τοτ᾽ αν ουτοι αποσχεσθαι b) φιλον ηεν. c)
Του φερον εμπλησας ασκον μεγαν᾽ εν δε και ηϊα
Κωρυκῳ᾽ αυτικα γαρ μοι οἴσσατο d) θυμος αγηνωρ
Ανδρ᾽ επελευσεσθαι e) μεγαλην επιειμενον f) αλκην,
Αγριον, ουτε δικας ευ ειδοτα, g) ουτε θεμιστας.
Καρπαλιμως δ᾽ εις αντρον αφικομεθ᾽, ουδε μιν ενδον
Ἑυρομεν, h) αλλ᾽ ενομευε νομον κατα πιονα μηλα.
Ελθοντες δ᾽ εις αντρον εθηευμεσθα i) ἑκαστα᾽
Ταρσοι μεν τυρων βριθον, l) στεινοντο m) δε σηκοι

Αρνων

z) χευω od. χεω. a) οζω. b) απεχω. c) ειμι. d) οἴομαι. e) επερχομαι. f) εφεννυμι. g) ειδω. h) ευρισκω od. ευρεω. i) θηεομαι. l) βριζω. m) στεινω od. στενω.

Αρνων ηδ' εριφων· διακεκριμεναι n) δε ἑκασται
Ερχατο. o) χωρις μεν προγονοι, χωρις δε μετασσαι,
Χωρις δ' αυθ' ἑρσαι· ναιον δ' ορῳ αγγεα παντα,
Γαυλοι τε, σκαφιδες τε, τετυγμενα, p) τοις εναμελγεν·
Ενθ' εμε μεν πρωτισθ' ἑταροι λισσοντ' q) επεεσσι,
Τυρων αινυμενους r) ιεναι s) παλιν· αυταρ επειτα
Καρπαλιμως επι νηα θοην εριφους τε, και αρνας
Σηκων εξελασαντας t) επιπλειν ἁλμυρον ὑδωρ·
Αλλ' εγω ου πιθομην, u) ητ' αν πολυ κερδιον ηεν,
Οφρ' αυτον τε ιδοιμι, και ει μοι ξεινια δοιη· x)
Ουδ' αρ' εμελλ' ἑταροισι φανεις y) ερατεινος εσεσθαι.
Ενθα δε πυρ κειαντες z) εθυσαμεν· a) ηδε και αυτοι

Τυρων

n) διακρινω. o) ειργω. p) τευχω. q) λισσομαι. r) αινυμαι. s) εἰμι. t) εξελαυνω od. εξελαω. u) πειθω. x) διδωμι. y) φαινω. z) κεω. a) θυω.

Τυρων αινυμενοι φαγομεν· μενομεν τε μιν ενδον
Ἡμενοι, ἑως επηλθε νεμων· φερε δ' οβριμον αχθος
Ὑλης αζαλεης, ἱνα ὁι ποτιδορπιον ειη.
Εκτοθεν δ' αντροιο βαλων ορυμαγδον εθηκεν b)
Ἡμεις δε δεισαντες c) απεσσυμεθ' d) ες μυχον αντρου.
Αυταρ ὁγ' εις ευρυ σπεος ηλασε e) πιονα μηλα
Παντα μαλ', ἑσσ' ημελγε, f) τα δ' αρσενα λειπε θυρηφιν,
Αρνειους τε, τραγους τε, βαθειης εκτοθεν αυλης.
Αυταρ επειτ' επεθηκε g) θυρεον μεγαν ὑψοσ', αειρας, h)
Οβριμον· ουκ αν τον γε δυω και εικοσ' αμαξαι
Εσθλαι, τετρακυκλοι, απ' ουδεος οχλισσειαν· i)
Τοσσην ηλιβατον πετρην επεθηκε θυρῃσιν.
Ἑζομενος δ' ημελγεν ὀις και μηκαδας αιγας,
Παν-

b) τιθημι. c) δειδω. d) αποσυομαι. e) ελαυνω od. ελαω. f) αμελγω. g) επιτιθημι. h) αειρω. i) οχλιζω.

Παντα κατα μοιραν, και ὑπ' εμβρυον ἡκεν l) ἑκαστη.
Αυτικα δ' ἡμισυ μεν θρεψας m) λευκοιο γαλακτος, n)
Πλεκτοις εν ταλαροισιν αμησαμενος o) κατεθηκε·
Ἡμισυ δ' αυτ' εστησεν p) εν αγγεσιν, οφρα ὁι ειη
Πινειν δαινυμενῳ, και ὁι ποτιδορπιον ειη.
Αυταρ επειδη σπευσε q) πονησαμενος r) τα ἁ εργα,
Και τοτε πυρ ανεκαιε, s) και εισιδεν, t) ειρετο u) δ' ἡμεας·

Ω ξεινοι, τινες εστε; ποθεν πλειθ' x) ὑγρα κελευθα;
Η τι κατα πρηξιν, η μαψιδιως αλαλησθε, y)
Ὁια τε ληϊστηρες ὑπειρ ἁλα, τοι τ' αλοωνται z)
Ψυχας παρθεμενοι, a) κακον αλλοδαποισι φεροντες;

Ὡς

l) ἱημι. m) τρεφω. n) γαλα. o) αμαω. p) ἱστημι. q) σπευδω. r) πονεω. s) ανακαιω. t) εισειδω. u) ερομαι. x) πλεω. y) αλαλημι. z) αλαομαι. a) παρατιθημι.

Ως εφαθ'. ἥμιν δ' αυτε κατεκλασθη b) φιλον ητορ,
Δεισαντων c) φθογγον τε βαρυν, αυτον τε πελωρον.
Αλλα και ὥς μιν επεσσιν αμειβομενος προσεειπον· d)

Ἡμεις τοι Τροιηθεν αποπλαγχθεντες e) Αχαιοι
Παντοιοις ανεμοισιν ὑπερ μεγα λαιτμα θαλασσης,
Οικαδε ἱεμενοι, f) αλλην ὁδον, αλλα κελευθα
Ηλθομεν· g) ὁυτω που Ζευς ηθελε μητιασθαι. h)
Λαοι δ' Ατρειδεω Αγαμεμνονος ευχομεθ' i) ειναι,
Του δη νυν γε μεγιστον ὑπουρανιον κλεος εστι
Τοσσην γαρ διεπερσε l) πολιν, και απωλεσε m) λαους

b) κατακλαω. c) δειδω. d) προσειπω. e) αποπλαζομαι. f) ἱεμαι g) ελευθω. h) μητιαω. i) ευχομαι. l) διαπερθω. m) απολλυμι.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Πολλους' ἡμεις δ' αυτε κιχανομενοι n) τα σα γουνα o)
Ἱκομεθ', ειτι ποροις ξεινηΐον, ηε και αλλως
Δωης p) δωτινην, ἡτε ξεινων θεμις εστιν.
Αλλ' αιδοιο, q) φεριστε, θεους' ἱκεται δε τοι ειμεν.
Ζευς δ' επιτιμητωρ ἱκεταων τε, ξεινων τε,
Ξεινιος, ὁς ξεινοισιν ἁμ' αιδοιοισιν οπηδει. r)

Ὡς εφαμην· ὁ δε μ' αυτις αμειβετο νηλεϊ θυμῳ·
Νηπιος εις, ω ξειν', η τηλοθεν ειληλουθας, s)
Ος με θεους κελεαι t) η δειδιμεν, u) η αλεασθαι x)
Ου γαρ Κυκλωπες Διος αιγιοχου αλεγουσιν, y)
Ουδε θεων μακαρων' επειη πολυ φερτεροι ειμεν.
Ουδ' αν εγω Διος εχθος αλευαμενος πεφιδοιμην z)
Ουτε σευ, ουθ' ἑταρων, ει μη θυμος με κελευει.

Αλλα

n) κιχανω. o) γονυ. -- γουνα, für γουνατα. p) διδωμι. q) αιδεομαι. r) οπηδεω. s) ελευθω. t) κελευω. u) δειδω. x) αλευω. y) αλεγω. z) φειδω.

Αλλα μοι ειφ', a) ὁπη εσχες b) ιων c) ευεργεα νηα·
Η που επ' εσχατιης, η και σχεδον, οφρα δαειω.

Ὡς φατο πειραζων· εμε δ' ου λαθεν d) ειδοτα πολλα·
Αλλα μιν αψορρον προσεφην δολιοις επεεσσι·

Νεα μεν μοι κατεαξε e) Ποσειδαων ενασιχθων,
Προς πετρησι βαλων, ὑμης επι πειρασι γαιης,
Ακρη προσπελασας· f) ανεμος δ' εκ ποντου ενεικεν· g)
Αυταρ εγω συν τοισδε ὑπεκφυγον h) αιπυν ολεθρον.

Ὡς εφαμην· ὁ δε μ' ουδεν αμειβετο νηλεϊ θυμῳ·
Αλλ' ὁγ αναϊξας i) ἑταροις επι χειρας ιαλλε· l)

Συν

a) für ειπε v. επω. b) σχεω od. εχω. c) εἶμι. d) λανθανω. e) καταγνυμι. f) προσπελαζω. g) Φερω, od. ενεικω· h) ὑπεκΦευγω. i) αναϊσσω. l) ιαλλω·

Συν δε δυω μαρψας, m) ὡστε σκυλακας, n) ποτι γαιη
Κοπτ᾿ εκ δ᾿ εγκεφαλος χαμαδις ῥεε, δευε o) δε γαιαν.
Τους δε διαμελεϊστι ταμων p) ὡπλισσατο q) δορπον·
Ησθιε r) δ᾿, ὡστε λεων ορεσιτροφος, ουδ᾿ απελειπεν s)
Εγκατα τε, σαρκας τε και οστεα μυελοεντα.
Ἡμεις δε κλαιοντες ανεσχεθομεν t) Διϊ χειρας,
Σχετλια εργ᾿ ὁροωντες· u) αμηχανιη δ᾿ εχε θυμον.
Αυταρ επει Κυκλωψ μεγαλην εμπλησατο x) νηδυν,
Ανδρομεα κρε᾿ εδων, και επ᾿ ακρητον γαλα πινων,
Κειτ᾿ εντοσθ᾿ αντροιο τανυσσαμενος y) δια μηλων.
Τον μεν εγω βουλευσα κατα μεγαλητορα θυμον,

Ασσον

m) μαρπτω. n) σκυλαξ. o) δευω. p) τεμνω. q) ὁπλιζω. r) εσθιω. s) απολειπω. t) ανεχω. u) ὁραω. x) εμπλημι. y) τανυω.

Ασσον ιων, ξιφος οξυ ερυσσαμενος παρα μηρου,
Ουταμεναι z) προς στηθος, ὁθι φρενες ἡπαρ εχουσι,
Χειρ᾽ επιμασσαμενος· a) ἑτερος δε με θυμος ερυκεν. b)
Αυτου γαρ κε και αμμες απωλομεθ᾽ c) αιπυν ολεθρον·
Ου γαρ κεν δυναμεσθα d) θυραων ὑψηλαων
Χερσιν απωσασθαι e) λιθον οβριμον, ὁν προσεθηκεν. f)
Ὡς τοτε μεν στεναχοντες g) εμειναμεν Ηω διαν.
Ημος δ᾽ ηριγενεια φανη ροδοδακτυλος Ηως,
Και τοτε πυρ ανεκαιε, h) και ημελγε i) κλυτα μηλα
Παντα κατα μοιραν, και ὑπ᾽ εμβρυον ἡκεν ἑκαστῃ·
Αυταρ επειδη σπευσε πονησαμενος τα ἁ εργα,
Συν δ᾽ ὁγε δ᾽ αυτε δυω μαρψας ωπλισσατο δειπνον.

Δει-

z) ουταζω. a) επιμασσομαι. b) ερυκω. c) απολλυμι. d) δυναμαι. e) απωθεω. f) προστιθημι. g) στεναχω. h) ανακαιω. i) αμελγω.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Δειπνησας l) δ' αντρου εξηλασε m) πιονα μηλα,
'Ρηϊδιως αφελων n) θυρεον μεγαν· αυταρ επειτα
Αψ επεθηχ', o) ὡς ειτε φαρετρῃ πωμ' επιθειη. p)
Πολλῃ δε ῥοιζῳ προς ορος τρεπε q) πιονα μηλα
Κυκλωψ· αυταρ εγω λιπομην κακα βυσσοδομευων,
Ει πως τισαιμην, r) δοιη δε μοι ευχος Αθηνη.
'Ηδε δε μοι κατα θυμον αριστη φαινετο βουλη·
Κυκλωπος γαρ εκειτο s) μεγα ροπαλον παρα σηκῳ,
Χλωρον, ελαϊνεον· το μεν εκταμεν, t) οφρα φοροιη u)
Αυανθεν· το μεν αμμες ἐϊσκομεν x) εισοροωντες,
'Οσσον θ' ἱστον νηος εεικοσοροιο μελαινης,
Φορτιδος, ευρειης, ἡτ' εκπεραα y) μεγα λαιτμα·

Τοσ-

l) δειπνεω. m) εξελαυνω. n) αφαιρεω. o) επιτιθημι. p) επιτιθημι. q) τρεπω. r) τιω. s) κειμαι. t) εκταμνω. u) φερω. x) ἐϊσκω. y) εκπεραω.

Τοσσον εην μηκος, τοσσον παχος εισοραασθαι.
Του μεν ὁσον τ' οργυιαν εγων απεκοψα z) παραστας,
Και παρεθηχ' ἑταροισιν αποξυναι a) δ' εκελευσα.
Ὁι δ' ὁμαλον ποιησαν b) εγω δ' εθοωσα c) παραστας
Ακρον, αφαρ δε λαβων d) επυρακτεον e) εν πυρι κηλεῳ.
Και το μεν ευ κατεθηκα κατακρυψας f) ὑπο κοπρῳ,
Ἡ ρα κατα σπειους κεχυτο g) μεγαλ' ηλιθα πολλη
Αυταρ τους αλλους κληρῳ πεπαλαχθαι h) ανωγον,
Ὁστις τολμησειεν i) εμοι συν μοχλον αειρας,
Τριψαι l) εν οφθαλμῳ, ὁτε τον γλυκυς ὑπνος ἱκανοι.

Ὁι-

z) αποκοπτω. a) αποξυνω. b) ποιεω. c) θοοω. d) λαμβανω. e) πυρακτεω. f) κατακρυπτω. g) χυω. h) παλλω, od. παλασσω. i) τολμαω. l) τριβω.

Ὁι δ' ελαχον' m) τους αν κε και ηθελον αυτος ἑλεσθαι, n)
Τεσσαρες, αυταρ εγω πεμπτος μετα τοισιν ελεγμην. o)
Ἑσπεριος δ' ηλθε καλλιτριχα μηλα νομευων·
Αυτικα δ' εις ευρυ σπεος ηλασε p) πιονα μηλα
Παντα μαλ'· ουδε τι λειπε βαθειης εκτοθεν αυλης,
Η τι ὀϊσσαμενος, η και θεος ὡς εκελευεν.
Αυταρ επειτ' επεθηκε θυρεον μεγαν ὑψοσ' αειρας,
Ἑζομενος δ' ημελγεν ὀϊς και μηκαδας αιγας,
Παντα κατα μοιραν, και ὑπ' εμβρυον ἡκεν ἑκαστη,
Αυταρ επειδη σπευσε πονησαμενος τα ἁ εργα,
Συν δ' ὁγε δ' αυτε δυω μαρψας ὡπλισσατο δορπον,
Και τοτ' εγω Κυκλωπα προσηυδων q) αγχι παραστας,
Κισσυβιον μετα χερσιν εχων μελανος οινοιο·

Κυκλωψ, τη, πιε οινον, επει φαγες ανδρομεα κρεα·

Οφρ'

m) λαγχανω. n) ἁιρεω. o) λεγω. p) ελαω, οδ. ελαυνω. q) προσαυδαω.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Οφρ' ειδης, ὁιον τι ποτον τοδε νηυς εκεκευθει r)
Ἡμετερη· σοι δ' αυ λοιβην φερον, ει μ' ελεησας s)
Οικαδε πεμψειας· t) συ δε μαινεαι u) ουκ' ετ' ανεκτως.
Σχετλιε, πως κεν τις σε και ὑστερον αλλος ἱκοιτο
Ανθρωπων πολεων; επει ου κατα μοιραν ερεξας. x)

Ὡς εφαμην· ὁ δ' εδεκτο y) και εκπιεν· ἡσατο z) δ' αινως
Ἡδυ ποτον πινων· και μ' ητεε δευτερον αυτις·

Δος μοι ετι προφρων, και μοι τεον ουνομα ειπε
Αυτικα νυν, ἱνα τοι δω ξεινιον, ᾧ κε συ χαιροις.
Και γαρ Κυκλωπεσσι φερει ζειδωρος αρουρα
Οινον εριστα φυλον, και σφιν Διος ομβρος αεξει·
Αλλα τοδ' αμβροσιης και νεκταρος εστιν απορρωξ.

Ὡς

r) κευθω. s) ελεεω. t) πεμπω. u) μαινομαι. x) ῥεζω. y) δεχομαι. z) ἡδομαι.

῾Ως εφατ᾽· αυταρ ὁι αυτις εγω πορον αιθοπα οινον·
Τρις μεν εδωκα φερων, τρις δ᾽ εκπιεν αφραδιῃσιν.
Αυταρ επει Κυκλωπα περι φρενας ηλυθεν a) οινος,
Και τοτε δη μιν επεσσι προσηυδων μειλιχιοισι·
Κυκλωψ, ειρωτᾳς b) μ᾽ ονομα κλυτον; αυταρ εγω τοι
Εξερεω· συ δε μοι δος ξεινιον, ὡς περ ὑπεστης· c)
Ουτις εμοι γ᾽ ονομ᾽ εστ᾽. Ουτιν δε με κικλησκουσι
Μητηρ, ηδε πατηρ, ηδ᾽ αλλοι παντες ἑταιροι.
῾Ως εφαμην· ὁ δε μ᾽ αυτις αμειβετο νηλεϊ θυμῳ·
Ουτιν εγω πυματον εδομαι μετα ὁις ἑταροισι,
Τους δ᾽ αλλους προσθεν· τοδε τοι ξεινηϊον εσται.
Η, και ανακλινθεις πεσεν d) ὑπτιος· αυταρ επειτα

Κειτ᾽

a) ελευθω. b) ερωταω. c) ὑφιςαμαι. d) πιπτω.

Κειτ᾽ αποδοχμωσας e) παχυν αυχενα· καδ᾽
δε μιν ὑπνος
Ἡιρει πανδαματωρ· φαρυγος f) δ᾽ εξεσσυτο g)
οινος,
Ψωμοι τ᾽ ανδρομεοι· ὁ δ᾽ ερευγετο h)· οινοβα-
ρειων.
Και τοτ᾽ εγω τον μοχλον ὑπο σποδου ηλασα i)
πολλης,
Ἑιως θερμαινοιτο· επεσσι τε παντας ἑταιρους
Θαρσυνον, μητις μοι ὑποδδεισας αναδυη. l)
Αλλ᾽ ὁτε δη ταχ᾽ ὁ μοχλος ελαΐνος εν πυρι
μελλεν
Ἁψασθαι, m) χλωρος περ εων, διεφαινετο
δ᾽ αινως,
Και τοτ᾽ εγων ασσον φερον εκ πυρος, αμφι δ᾽
ἑταιροι
Ἱσταντ᾽· αυταρ θαρσος ενεπνευσε n) μεγα
δαιμων.
Ὁι μεν, μοχλον ἑλοντες o) ελαΐνον οξυν επ᾽
ακρῳ,

Οφθαλ-

e) αποδοχμοω. f) Φαρυγξ. g) εκσυω συ. εκσευω. h) ερευγομαι. i) ελαω. l) αναδυω. m) ἁπτω. n) εμπνευω. o) ἁιρεω.

Οφθαλμῳ ενερεισαν p) εγω δ' εφυπερθεν αερθεις q)
Δινεον· r) ὡς δ' ὁτε τις τρυπῳ δορυ νηϊον ανηρ
Τρυπανῳ, οἱ δε τ' ενερθεν ὑποσσειουσιν s) ἱμαντι
Ἁψαμενοι ἑκατερθε, το δε τρεχει εμμενες αιεν·
Ὡς του εν οφθαλμῳ πυριηκεα μοχλον ἑλοντες
Δινεομεν, τον δ' αἱμα περιρρεε t) θερμον εοντα.
Παντα δε οἱ βλεφαρ' αμφι και οφρυας ἑυσεν u) αϋτμη,
Γληνης καιομενης· σφαραγευντο x) δε οἱ πυρι ῥιζαι
Ὡς δ' ὁτ' ανηρ χαλκευς πελεκυν μεγαν, ηε σκεπαρνον,
Ειν ὑδατι ψυχρῳ βαπτει μεγαλα ιαχοντα,
Φαρμασσων· y) το γαρ αυτε σιδηρου τε κρατος εϛιν·
Ὡς του σιζ' οφθαλμος ελαϊνεῳ περι μοχλῳ.
Σμερδαλεον δε μεγ' ῳμωξε z) περι δ' ιαχε πετρη.
Ἡμεις δε δεισαντες απεσσυμεθ'· Αυταρ ὁ μοχλον

Εξε-

p) ενερειδω. q) αειρω. r) δινεω. s) ὑποσειω. t) περιρεω. u) ἑυω. x) σφαραγεω. y) Φαρμασσω. z) οιμωζω.

Εξερυσ᾽ οφθαλμοιο πεφυρμενον a) αἱματι πολλῳ·
Τον μεν επειτ᾽ ερριψεν b) απο ἑο χερσιν αλυων.
Αυταρ ὁ Κυκλωπας μεγαλ᾽ ηπυεν, c) οἱ ῥα μιν αμφις
Ωικεον εν σπηεσσι d) δι᾽ ακριας ηνεμοεσσας.
Ὁι δε βοης αϊοντες εφοιτων e) αλλοθεν αλλος·
Ἱσαμενοι δ᾽ ειροντο f) περι σπεος, ὁττι ἑ κηδοι·
Τιπτε τοσον, Πολυφημ᾽, αρημενος g) ὡδ᾽ εβοησας, h)
Νυκτα δι᾽ αμβροσιην, και αϋπνους αμμε i) τιθησθα;
Η μη τις σευ μηλα βροτων αεκοντος ελαυνει;
Η μη τις σ᾽ αυτον κτεινη δολῳ, ηε βιηφι;
Τους δ᾽ αυτ᾽ εξ αντρȣ προσεφη κρατερος Πολυφημος·
Ω φιλοι, Ουτις με κτεινει δολῳ, ουδε βιηφιν.
Οι δ᾽ απαμειβομενοι επεα πτεροεντ᾽ αγορευον·
Ει μεν δη μητις σε βιαζεται, οιον εοντα,

Νȣσον

a) Φυρω. b) ῥιπτω. c) απυω. d) σπεος. e) Φοιταω. f) ερομαι. g) αραομαι. h) βοαω. i) εγω. — αμμε für ἡμας.

Νουσον γ' ουπως εστι Διος μεγαλου αλεασθαι.
Αλλα συ γ' ευχεο l) πατρι Ποσειδαωνι ἀνακτι. m)

Ὡς αρ' εφαν απιοντες· εμον δ' εγελασσε φιλον κηρ,
Ὡς ονομ' εξαπατησεν n) εμον και μητις αμυμων.
Κυκλωψ δε στεναχων τε και ωδινων οδυνῃσι,
Χερσι ψηλαφοων, απο μεν λιθον ἑιλε o) θυραων·
Αυτος δ' ενι θυρῃσι καθεζετο, χειρε πετασσας, p)
Ειτινα που μετ' οεσσι λαβοι στειχοντα q) θυραζε·
Ὀυτω γαρ που μ' ηλπετ' r) ενι φρεσι νηπιον ειναι.
Αυταρ εγω βουλευον, ὁπως οχ' αριστα γενοιτο, s)
Ειτιν' ἑταιροισι θανατου λυσιν, ηδ' εμοι αυτῳ
Ἑυροιμην· παντας δε δολους και μητιν ὑφαινον, t)

Ὡστε

l) ευχομαι. m) αναξ. n) εξαπαταω. o) ἁιρεω. p) πεταζω. q) στειχω. r) ελπομαι. s) γινομαι. t) ὑφαινω.

Ὡϛε περι ψυχης· μεγα γαρ κακον εγγυθεν ηεν.
Ἡδε δε μοι κατα θυμον αριϛη φαινετο βȣλη.
Αρϛενες οἱες ησαν ἐυτρεφεες, δασυμαλλοι,
Καλοι τε, μεγαλοι τε, ιοδνεφες ειρος εχοντες·
Τȣς ακεων συνεεργον u) ἐυϛρεφεεσσι λυγοισι,
Της επι Κυκλωψ εὑδε, x) πελωρ, αθεμιϛια ειδως,
Συντρεις αινυμενος· ὁ μεν εν μεσω ανδρα φερεσκεν,
Τω δ᾽ ἑτερω ἑκατερθεν ιτην, y) σωοντες ἑταιρȣς.
Τρεις δε ἑκαϛον φωτ᾽ οἱες φερον· αυταρ εγωγε,
Αρνειος γαρ εην, μηλων οχ᾽ αριϛος ἁπαντων,
Τȣ κατα νωτα λαβων, λασιην ὑπο γαϛερ᾽ ελυσθεις z)
Κειμην· αυταρ χερσιν αωτȣ θεσπεσιοιο
Νωλεμεως ϛρεφθεις a) εχομην τετληοτι θυμω.
Ὡς τοτε μεν ϛεναχοντες εμειναμεν Ηω διαν.

Ημος

u) συνειργω. x) ἑυδω. y) dual. ειμι. z) ελυω. a) στρεφω.

Ημος δ' ηριγενεια φανη ροδοδακτυλος Ηως,
Και τοτ' επειτα νομονδ' εξεσσυτο αρσενα μηλα·
Θηλειαι δ' εμεμηκον b) ανημελκτοι περι σηκους,
Ουθατα γαρ σφαραγευντο· αναξ δ' οδυνῃσι κακῃσι
Τειρομενος, παντων οιων επεμαιετο c) νωτα
Ορθων ἑςαοτων· το δε νηπιος ουκ ενοησεν, d)
Ὡς οἱ ὑπ' ειροποκων οἰων ςερνοισι δεδεντο. e)
Ὑςατος αρνειος μηλων εςειχε θυραζε,
Λαχμῳ ςεινομενος, f) και εμοι πυκινα φρονεοντι.
Τον δ' επιμασσαμενος προσεφη κρατερος Πολυφημος·
Κριε πεπον, τι μοι ὡδε δια σπεος εσσυο μηλων
Ὑςατλος; ουτι παρος γε λελειμμενος g) ερχεαι οιων,
Αλλα πολυ πρωτος νεμεαι h) τερεν' ανθεα ποιης,
Μακρα βιβας· i) πρωτος δε ροας ποταμων αφικανεις·
Πρω-

b) μηκαω. c) επιμαιομαι. d) νοεω. e) δεω. f) ςενω. g) λειπω. h) νεμω. i) βιβημι οδ. βαινω.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Πρωτος δε ςαθμονδε λιλαιεαι απονεεσθαι
Ἑσπεριος· νυν αυτε πανυςατος· η συ γ᾽ ανακτος
Οφθαλμον ποθεεις; τον ανηρ κακος εξαλαωσε, l)
Συν λυγροις ἑταροισι, δαμασσαμενος φρενας οινῳ,
Ουτις, ὁν ουπω φημι πεφυγμενον m) ειναι ολεθρον.
Ει δη ὁμοφρονεοις, ποτιφωνηεις τε γενοιο,
Ειπειν, ὁππη κεινος εμον μενος ηλασκαζει· n)
Τῳ κε ὁι εγκεφαλος γε δια σπεος αλλυδις αλλῃ
Θεινομενου ῥαιοιτο προς ουδεϊ· καδ᾽ δε εμον κηρ
Λωφησειε o) κακων, τα μοι ουτιδανος πορεν Ουτις.

Ὡς ειπων, τον κριον απο ἑο πεμπε θυραζε.
Ελθοντες δ᾽ ηβαιον απο σπειους τε και αυλης,
Πρωτος ὑπ᾽ αρνειου λυομην, ὑπελυσα p) δ᾽ ἑταιρους.

l) εξαλαοω. m) φευγω. n) ηλασκαζω. o) λωφαω. p) ὑπολυω.

Καρπαλιμως δε τα μηλα ταναυποδα, q) πιονα δημω,
Πολλα περιτροπεοντες ελαυνομεν, οφρ' επι νηα
Ἱκομεθ'· ασπασιοι δε φιλοις ἑταροισι φανημεν,
Ὁι φυγομεν θανατον· τους δε ςεναχοντο γοωντες.
Αλλ' εγω ουκ ειων, r) ανα δ' οφρυσι νευον ἑκαςω,
Κλαιειν· αλλ' εκελευσα θοως καλλιτριχα μηλα
Πολλ' εν νηΐ βαλοντας επιπλειν ἁλμυρον ὑδωρ.
Ὁι δ' αιψ' εισβαινον, και επι κληϊσι καθιζον.
Ἑξης δ' ἑζομενοι πολιην ἁλα τυπτον ερετμοις.
Αλλ' ὁτε τοσσον απην, ὁσσον τε γεγωνε βοησας,
Και τοτ' εγω Κυκλωπα προσηυδων κερτομιοισι·
Κυκλωψ, ουκ αρ' εμελλες αναλκιδος ανδρας ἑταιρους
Εδμεναι s) εν σπηϊ γλαφυρω κρατερηφι βιηφι.

Και

q) für τανυποδα v. ταννυπους. r) εαω. s) εδω.

Και λιην σε γε μελλε κιχησεσθαι t) κακα εργα,
Σχετλι᾽ επει ξεινȣς ȣχ ἁζεο u) σῳ ενι οικῳ
Εσθεμεναι· τῳ σε Ζευς τισατο και θεοι αλλοι.

Ὡς εφαμην· ὁ δ᾽ επειτα χολωσατο x) κηροθι μαλλον·
Ἡκε δ᾽ απορρηξας y) κορυφην ορεος μεγαλοιο·
Καδ δ᾽ εβαλε προπαροιθε νεως κυανοπρωροιο,
Τυτθον εδευησε δ᾽ οιηιον ακρον ἱκεσθαι.
Αυταρ εγω χειρεσσι λαβων περιμηκεα κοντον
Ωσα z) παρεξ· ἑταροισι δ᾽ εποτρυνας, εκελευσα
Εμβαλεειν κωπης, ἱν᾽ ὑπ᾽ εκ κακοτητα φυγοιμεν,
Κρατι κατανευων· οἱ δε προπεσοντες a) ερεσσον. b)
Αλλ᾽ ὁτε δη δις τοσσον ἁλα πρησσοντες απημεν,
Και τοτ᾽ εγω Κυκλωπα προσηυδων· αμφι δ᾽ ἑταιροι
Μειλιχιοις επεεσσιν ερητυον αλλοθεν αλλος·

Σχετλιε,

t) κιχανω. u) ἁζομαι. x) χολοω. y) απορρασσω. z) ωθεω. a) προπιπτω. b) ερεσσω.

Σχετλιε, τιπτ' εθελεις ερεθιζεμεν αγριον ανδρα;
Ὁς και νυν ποντονδε βαλων βελος, ηγαγε c) νηα
Αυτις ες ηπειρον, και δη φαμεν αυτοθ' ολεσθαι.
Ει δε φθεγξαμενου d) τευ, e) η αυδησαντος f) ακουσε,
Συν κεν αραξ' g) ἡμεων κεφαλας, και νηϊα δουρα,
Μαρμαρῳ οκρυοεντι βαλων· τοσσον γαρ ἱησιν.
Ὡς φασαν· αλλ' ου πειθον εμον μεγαλητορα θυμον,
Αλλα μιν αψορρον προσεφην κεκοτηοτι h) θυμῳ·
Κυκλωψ, αικεν τις σε κατα θνητων ανθρωπων
Οφθαλμου ειρηται αεικελιην αλαωτυν,
Φασθαι, Οδυσσηα πτολιπορθιον εξαλαωσαι,
Ὑιον Λαερτεω, Ιθακῃ ενι οικι' εχοντα.
Ὡς εφαμην· ὁ δε μ' οιμωξας ημειβετο μυθῳ·

Ω

c) αγω. d) φθεγγομαι. e) für σου. f) αυδαω. g) αρασσω. h) κοτεω.

Ω ποποι, η μαλα δη με παλαιφατα θεσφαθ' ἱκανει,
Εσκε τις ενθαδε μαντις ανηρ ηΰς τε μεγας τε,
Τηλεμος Ευρυμιδης, ὁς μαντοσυνῃ εκεκαστο, i)
Και μαντευομενος κατεγηρα l) Κυκλωπεσσιν·
Ὁς μοι εφη ταδε παντα τελευτησεσθαι οπισσω,
Χειρων εξ Οδυσηος ἁμαρτησεσθαι οπωπης.
Αλλ' αιει τινα φωτα μεγαν και καλον εδεγμην m)
Ενθαδ' ελευσεσθαι, n) μεγαλην επιειμενον αλκην·
Νυν δε μ', εων ολιγος τε και ουτιδανος και ακικυς,
Οφθαλμου αλαωσεν, επει μ' εδαμασσατο οινῳ.
Αλλ' αγε δευρ' Οδυσευ, ἱνα τοι παρ ξεινια θειω, o)
Πομπην τ' οτρυνω δομεναι κλυτον Εννοσιγαιον·

Του

i) καζω. l) καταγηραω. m) δεχομαι. n) ερχομαι. o) τιθημι.

Τȣ γαρ εγω παῖς ειμι, πατηρ δ' εμος ευχεται ειναι·
Αυτος δ', αικ' εθελῃσιν, ιησεται, p) ȣδε τις αλλος,
Ουτε θεων μακαρων, ουτε θνητων ανθρωπων.
Ὡς εφατ'. αυταρ εγω μιν αμειβομενος προσεειπον·
Αι γαρ δη ψυχης τε και αιωνος σε δυναιμην
Ευνιν ποιησας πεμψαι δομον Αϊδος εισω·
Ὡς ȣκ οφθαλμον γ' ιησεται ȣδ' Ενοσιχθων·
Ὡς εφαμην· ὁ δ' επειτα Ποσειδαωνι ανακτι
Ευχετο, χειρ' ορεγων εις ȣρανον αςεροεντα·
Κλυθι, q) Ποσειδαον, γαιηοχε, κυανοχαιτα·
Ει ετεον γε σος ειμι, πατηρ δ' εμος ευχεαι ειναι,
Δος μη Οδυσσηα πτολιπορθιον οικαδ' ἱκεσθαι,
Ὑιον Λαερτεω, Ιθακῃ ενι οικι' εχοντα.
Αλλ' ει οἱ μοιρ' εςι φιλȣς τ' ιδεειν και ἱκεσθαι
Οικον εϋκτιμενον, και εην ες πατριδα γαιαν·
Οψε

p) ιαομαι. q) κλυθι, imp. v. κλυμι.

Οψε κακως ελθοι, ολεσας απο παντας ἑταιρȣς,
Νηος επ' αλλοτριης, ἑυροι δ' εν πηματα οικῳ.
Ὡς εφατ' ευχομενος· τȣ δ' εκλυε Κυανοχαιτης.
Αυταρ ὁγ' εξαυτις πολυ μειζονα λααν αειρας,
Ἡκ' επιδινησας· επερεισε r) δε ιν' απελεθρον.
Καδ' δ' εβαλε μετοπιθε νεως κυανοπρωροιο,
Τυτθον εδευησε δ' οιηϊον ακρον ἱκεσθαι.
Εκλυσθη s) δε θαλασσα κατερχομενης ὑπο πετρης·
Την δε προσω φερε κυμα, θεμωσε t) δε χερσον ἱκεσθαι.
Αλλ' ὁτε δη την νησον αφικομεθ', ενθα περ αλλαι
Νηες ἑυσσελμοι μενον αθροαι, αμφι δ' ἑταιροι
Ειατ' οδυρομενοι, ἡμεας ποτιδεγμενοι αιει·
Νηα μεν ενθ' ελθοντες εκελσαμεν εν ψαμαθοισιν,

Εκ

r) επερειδω. s) κλυζω. t) θεμοω.

Εκ δε και αυτοι βημεν επι ρηγμινι θαλασσης.
Μηλα δε Κυκλωπος γλαφυρης εκ νηος ἑλοντες,
Δασσαμεθ᾽, ὡς μητις μοί ατεμβομενος κιοι ισης.
Αρνειον δ᾽ εμοι οιῳ εὐκνημιδες ἑταιροι,
Μηλων δαιομενων, δοσαν εξοχα· τον δ᾽ επι θινι
Ζηνι κελαινεφεϊ Κρονιδῃ, ὁς πασιν ανασσει,
Ῥεξας, μηρἰ εκηον· ὁ δ᾽ ȣκ εμπαζετο ἱρων,
Αλλ᾽ αρα μερμηριζεν, ὁπως απολοιατο πασαι
Νηες εὐσσελμοι, και εμοι εριηρες ἑταιροι.
Ὡς τοτε μεν προπαν ημαρ, ες ηελιον καταδυντα,
Ἡμεθα δαινυμενοι κρεα τ᾽ ασπετα και μεθυ ἡδυ.
Ημος δ᾽ ηελιος κατεδυ, και επι κνεφας ηλθε,
Και τοτ᾽ εκοιμηθημεν u) επι ρηγμινι θαλασσης.
Ημος δ᾽ ηριγενεια φανη ροδοδακτυλος Ηως,
Δη τοτ᾽ εγων ἑταροισιν εποτρυνων εκελευσα,

Αυτȣς

u) κοιμαω.

Αυτους τ' αμβαινειν, ανα τε πρυμνησια λυσαι·
Οἱ δ' αιψ' εισβαινον, και επι κληϊσι καθιζον·
Ἑξης δ' ἑζομενοι πολιην ἁλα τυπτον ερετμοις.
Ενθεν δε προτερω πλεομεν, ακαχημενοι ητορ,
Ασμενοι εκ θανατοιο, φιλους ολεσαντες ἑταιρους.

IV.

Ulysses Besuch bey dem Aeolus.

Αιολιην δ' ες νησον αφικομεθ'· ενθα δ' εναιεν
Αιολος Ἱπποταδης, φιλος αθανατοισι θεοισι,
Πλωτη ενι νησω· πασαν δε τε μιν περι τειχος
Χαλκεον, αρρηκτον· λισση δ' αναδεδρομε x) πετρη.
Του και δωδεκα παιδες ενι μεγαροις γεγαασιν· y)
Ἑξ μεν θυγατερες, ἑξ δ' ὑιεες ἡβωοντες. z)
Ενθ' ὁγε θυγατερας πορεν ὑιασιν ειναι ακοιτας.

Οἱ

x) ανατρεχω. y) γινομαι. z) ἡβαω.

Οἱ δ' αιει παρα πατρι φιλῳ και μητερι κεδνη
Δαινυνται· παρα δε σφιν ονειατα μυρια κειται.
Κνισσηεν δε τε δωμα περιστεναχιζεται αυλη
Ηματα, νυκτας δ' αυτε παρ' αιδοιοις αλοχοισιν
Εὑδουσ', εν τε ταπησι και εν τρητοις λεχεεσσι.
Και μεν των ἱκομεσθα πολιν και δωματα καλα.
Μηνα δε παντα φιλει με, και εξερεεινεν ἑκαστα,
Ιλιον, Αργειων τε νεας, και νοστον Αχαιων·
Αυταρ εγω τῳ παντα κατα μοιραν κατελεξα.
Αλλ' ὁτε δη και εγων ὁδον ητεον, a) ηδ' εκελευον
Πεμπεμεν, ουδε τι κεινος ανηνατο, b) τευχε δε πομπην·
Δωκε δε μοι δειρας ασκον βοος εννεωροιο·
Ενθα δε βυκταων ανεμων κατεδησε κελευθα.
Κεινον γαρ ταμιην ανεμων ποιησε Κρονιων,
Ημεν παυεμεναι, ηδ' ορνυμεν, ὁν κ' εθελησι.

Νηΐ

a) αιτεω. b) αναινομαι.

Νηϊ δ' ενι γλαφυρη κατεδει c) μερμιθι φαεινη
Αργυρεη, ἱνα μητι παραπνευση ολιγον περ·
Αυταρ εμοι πνοιην Ζεφυρȣ προεηκεν αηναι, d)
Οφρα φεροι νηας τε και αυτȣς· ȣδ' αρ εμελλεν
Εκτελεειν· αυτων γαρ απωλομεθ' αφραδιησιν.

Εννημαρ μεν ὁμως πλεομεν νυκτας τε και ημαρ·
Τη δεκατη δ' ηδη ανεφαινετο πατρις αρȣρα·
Και δη πυρπολεοντας ελευσσομεν εγγυς εοντας.
Ενθ' εμε μεν γλυκυς ὑπνος επηλυθε κεκμηωτα· e)
Αιει γαρ ποδα νηος ενωμων· f) ȣδε τῳ αλλῳ
Δωχ' ἑταρων, ἱνα θασσον ἱκοιμεθα πατριδα γαιαν.
Ὁι δ' ἑταροι επεεσσι προς αλληλȣς αγορευον,
Και μ' εφασαν χρυσον τε και αργυρον οικαδ' αγεσθαι,
Δωρα παρ' Αιολȣ μεγαλητορος Ἱπποταδαο.
Ὡδε δε τις ειπεσκεν ιδων ες πλησιον αλλον·

Ω

c) καταδεω. d) αημι. e) καμνω. f) νωμαω.

Ω ποποι, ὡς ὁδε πασι φιλος και τιμιος εϛιν
Ανθρωποις, ὁτεων τε πολιν και γαιαν ἱκηται.
Πολλα μεν εκ Τροιης αγεται κειμηλια καλα
Ληΐδος· ἡμεις δ' αυτε ὁμην ὁδον εκτελεσαντες,
Οικαδε νισσομεθα κενεας συν χειρας εχοντες.
Και νυν οἱ ταγ' εδωκε χαριζομενος φιλοτητι
Αιολος· αλλ' αγε θασσον ιδωμεθα, ὁ ττι ταδ' εϛιν,
Οσσος τις χρυσος τε και αργυρος ασκῳ ενεϛιν.
Ὡς εφασαν· βουλη δε κακη νικησεν ἑταιρων·
Ασκον μεν λυσαν, ανεμοι δ' εκ παντες ορουσαν.
Τους δ' αιψ' ἁρπαξασα g) φερε ποντονδε θυελλα
Κλαιοντας, γαιης απο πατριδος· αυταρ εγωγε
Εγρομενος, κατα θυμον αμυμονα μερμηριξα,
Ηε πεσων h) εκ νηος αποφθιμην ενι ποντῳ,
Η ακεων τλαιην, i) και ετι ζωοισι μετειην.
Αλλ' ετλην και εμεινα· καλυψαμενος δ' ενι νηΐ

Κει-

g) ἁρπαζω. h) πιπτω. i) τλημι.

Κειμην· οἱ δ' εφεροντο κακῃ ανεμοιο θυελλῃ
Αυτις επ' Αιολιην νησον· ϛεναχοντο δ' ἑταιροι.

Ενθα δ' επ' ηπειρȣ βημεν, και αφυσσαμεθ' ὑδωρ·
Αιψα δε δειπνον ἑλοντο θοῃς παρα νηυσιν ἑταιροι.
Αυταρ επει σιτοιο τε πασσαμεθ' ηδε ποτητος,
Δη τοτ' εγω κηρυκα τ' οπασσαμενος και ἑταιρον
Βην εις Αιολȣ κλυτα δωματα· τον δ' εκιχανον
Δαινυμενον, παρα ῃ τ' αλοχῳ και οἱσι τεκεσσιν.
Ελθοντες δ' ες δωμα, παρα ϛαθμοισιν επ' ȣδȣ
Ἑζομεθ'· οἱ δ' ανα θυμον εθαμβεον, εκ τ' ερεοντο·

Πως ηλθες, Οδυσευ; τις τοι κακος εχραε 1) δαιμων;
Η μεν σ' ενδυκεως απεπεμπομεν, οφρ' αφικοιο Πα-

1) χραω.

Πατριδα σην, και δωμα, και εἰπου τοι φιλον εστιν.

Ὡς φασαν· αυταρ εγω μετεφωνεον, αχνυμενος κηρ·
Αασαν m) μ' έταροι τε κακοι, προς τοισι τε ὑπνος
Σχετλιος· αλλ' ακεσασθε, φιλοι· δυναμις γαρ εν ὑμιν.

Ὡς εφαμην, μαλακοισι καθαπτομενος επεεσσιν·
Οἱ δ' ανεῳ εγενοντο· πατηρ δ' ημειβετο μυθῳ·

Ερρ' εκ νησου θασσον, ελεγχιστε ζωοντων·
Ου γαρ μοι θεμις εστι κομιζεμεν ουδ' αποπεμπειν
Ανδρα τον, ὁς κε θεοισιν απεχθηται μακαρεσσιν.
Ερρ', επει ῥα θεοισιν απεχθομενος τοδ' ἱκανεις.

Ὡς ειπων, απεπεμπε δομων βαρεα στεναχοντα.

m) αω.

V.

Aufenthalt des Ulysses bey der Circe.

Ενθεν δε προτερω πλεομεν, ακαχημενοι ητορ.
Αιαιην δ' ες νησον αφικομεθ'. ενθα δ' εναιε
Κιρκη ἐυπλοκαμος, δεινη θεος, αυδηεσσα,
Αυτοκασιγνητη ολοοφρονος Αιηταο·
Αμφω δ' εκγεγατην n) φαεσιμβροτου Ηελιοιο,
Μητρος τ' εκ Περσης, την Ωκεανος τεκε o) παιδα.
Ενθα δ' επ' ακτης νηϊ κατηγαγομεσθα p) σιωπη
Ναυλοχον ες λιμενα, και τις θεος ἡγεμονευεν.
Ενθα τοτ' εκβαντες, δυο τ' ηματα και δυο νυκτας
Κειμεθ', ὁμου καματῳ τε και αλγεσι θυμον εδοντες.
Αλλ' ὁτε δη τριτον ημαρ ευπλοκαμος τελεσ' Ηως,
Και τοτ' εγων εμον εγχος ἑλων και φασγανον οξυ,
Καρπαλιμως παρα νηος ανηϊον ες περιωπην,

Ειπως

n) dual. v. εκγινομαι. o) τικτω. p) καταγω.

Ειπως εργα ιδοιμι βροτων, ενοπην τε πυθοιμην.
Εστην δε, σκοπιην ες παιπαλοεσσαν ανελθων,
Και μοι εεισατο q) καπνος απο χθονος ευρυοδειης,
Κιρκης εν μεγαροισι, δια δρυμα πυκνα και ὑλην.
Μερμηριξα δ' επειτα κατα φρενα και κατα θυμον
Ελθειν, ηδε πυθεσθαι, επει ιδον αιθοπα καπνον·
Ὡδε δε μοι φρονεοντι δοασσατο κερδιον ειναι,
Πρωτ' ελθοντ' επι νηα θοην και θινα θαλασσης,
Δειπνον ἑταιροισι δομεναι, προεμεν r) τε πυθεσθαι.
Αλλ' ὁτε δη σχεδον ηα κιων νεος αμφιελισσης,
Και τοτε τις με θεων ολοφυρατο μουνον εοντα,
Ὁς ῥα μοι ὑψικερων ελαφον μεγαν εις ὁδον αυτην
Ἡκεν· ὁ μεν ποταμονδε κατηϊεν εκ νομου ὑλης,
Πιομενος, δη γαρ μιν εχε μενος ηελιοιο
Τον δ' εγω εκβαινοντα κατ' ακνηστιν μεσα νωτα

Πληξα·

q) ειδομαι r.) προιημι.

Πληξα· το δ' αντικρυ δορυ χαλκεον εξεπερησε· s)
Καδ' δ' επεσ' εν κονιῃσι μακων, απο δ' επτατο t) θυμος·
Τῳ δ' εγω εμβαινων, δορυ χαλκεον εξ ωτειλης
Ειρυσαμην· u) το μεν αυθι κατακλινας επι γαιῃ
Ειασ'· αυταρ εγω σπασαμην ῥωπας τε λυγȣς τε
Πεισμα δ', ὁσον τ' οργυιαν, εὐστρεφες αμφοτερωθεν
Πλεξαμενος, x) συνεδησα ποδας δεινοιο πελωρȣ.
Βην δε καταλοφαδια φερων επι νηα μελαιναν,
Εγχει ερειδομενος, επει ȣπως ηεν επ' ωμȣ
Χειρι φερειν ἑτερῃ· μαλα γαρ μεγα θηριον ηεν.
Καδ' δ' εβαλον προπαροιθε νεως· ανεγειρα δ' ἑταιρȣς
Μειλιχιοις επεεσσι, παρασταδον ανδρα ἑκαστον·

s) εκπεραω. t) ιπταμαι. u) ερυω. x) πλεκω.

Ω φιλοι, ου γαρ πως καταδυσομεθ', αχνυμενοι περ,
Εις Αϊδαο δομους, πριν μορσιμον ημαρ επελθῃ.
Αλλ' αγετ', οφρ' εν νηϊ θοῃ βρωσις τε ποσις τε,
Μνησομεθα βρωμης, μηδε τρυχωμεθα λιμῳ.

Ὡς εφαμην· οἱ δ' ωκα εμοις επεεσσι πιθοντο·
Εκ δε καλυψαμενοι παρα θιν' ἁλος ατρυγετοιο
Θηησαντ' y) ελαφον· μαλα γαρ μεγα θηριον ηεν.
Αυταρ επει ταρπησαν z) ὁρωμενοι οφθαλμοισιν,
Χειρας νιψαμενοι a) τευχοντ' ερικυδεα δαιτα.
Ὡς τοτε μεν προπαν ημαρ ες ηελιον καταδυντα
Ἡμεθα δαινυμενοι κρεα τ' ασπετα και μεθυ ἡδυ.
Ημος δ' ηελιος κατεδυ, και επι κνεφας ηλθε,
Δη τοτ' εκοιμηθημεν επι ῥηγμινι θαλασσης.
Ημος δ' ηριγενεια φανη ῥοδοδακτυλος Ηως,

y) θηεομαι. z) τερπω. a) νιπτω.

Και τοτ᾽ εγων αγορην θεμενος μετα πασιν εειπον·

Κεκλυτε μευ μυθων, κακα περ πασχοντες, ἑταιροι·
Ω φιλοι, ου γαρ τ᾽ ιδμεν, ὁπη ζοφος, ουδ᾽ ὁπη Ηως,
Ουδ᾽ ὁπη ηελιος φαεσιμβροτος εισ᾽ ὑπο γαιαν,
Ουδ᾽ ὁπη αννειται· b) αλλα φραζωμεθα θασσον,
Ει τις ετ᾽ εσται μητις· εγω δ᾽ ουκ οιομαι ειναι.
Ειδον γαρ, σκοπιην ες παιπαλοεσσαν ανελθων,
Νησον, την περι ποντος απειριτος εστεφανωται·
Αυτη δε χθαμαλη κειται· καπνον δ᾽ ενι μεσση
Εδρακον οφθαλμοισι, δια δρυμα πυκνα και ὑλην.

Ὡς εφαμην· τοισι δε κατεκλασθη φιλον ητορ.
Κλαιον δε λιγεως, θαλερον κατα δακρυ χεοντες·

Αλλ᾽

b) ανιημι.

Αλλ' ȣ γαρ τις πρηξις εγινετο μυρομενοισιν.
Αυταρ εγω διχα παντας εϋκνημιδας ἑταιρȣς
Ηριθμεον· c) αρχον δε μετ' αμφοτεροισιν οπασσα·
Των μεν εγων ηρχον, των δ' Ευρυλοχος θεοειδης.
Κληρȣς δ' εν κυνεῃ χαλκηρεϊ παλλομεν ωκα·
Εκ δ' εθορε d) κληρος μεγαλητορος Ευρυλοχοιο.
Βη δ' ιεναι, ἁμα τῳ γε δυω και εικοσ' ἑταιροι
Κλαιοντες· κατα δ' αμμε λιπον γοοωντας οπιθεν.
Ἑυρον δ' εν βησσῃσι τετυγμενα δωματα Κιρκης
Ξεστοισι λαεσσι, περισκεπτῳ ενι χωρῳ.
Αμφι δε μιν λυκοι ησαν ορεστεροι, ηδε λεοντες,
Τους αυτη κατεθελξεν, επει κακα φαρμακ' εδωκεν.
Ουδ' ὁι γ' ὡρμηθησαν e) επ' ανδρασιν, αλλ' αρα τοιγε
Ουρῃσι μακρῃσι περισσαινοντες ανεσταν.
Ὡς δ' ὁταν αμφι ανακτα κυνες δαιτηθεν ιοντα
Σαινωσ', αιει γαρ τε φερει μειλιγματα θυμȣ·
Ὡς

c) αριθμεω. d) θορεω od. θορω. e) ορμαω.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Ὡς τους αμφι λυκοι κρατερωνυχες, ηδε λεοντες,
Σαινον· τοι δ' εδδεισαν, επει ιδον αινα πελωρα.
Εσταν δ' ενι θυρῃσι θεας καλλιπλοκαμοιο·
Κιρκης δ' ενδον ακουον αειδουσης οπι καλῃ,
Ἱστον εποιχομενης μεγαν, αμβροτον· όια θεαων
Λεπτα τε και χαριεντα, και αγλαα εργα πελονται.
Τοισι δε μυθων ηρχε Πολιτης, ορχαμος ανδρων,
Ὁς μοι κηδιϛος έταρων ην, κεδνοτατος τε·

Ω φιλοι, ενδον γαρ τις εποιχομενη μεγαν ἱστον,
Καλον αοιδιαει, δαπεδον δ' άπαν αμφιμεμυκεν, f)
Η θεος, ηε γυνη· αλλα φθεγγωμεθα θασσον.

Ὡς αρ' εφωνησε· τοι δ' εφθεγγοντο καλευντες g)·
Ἡ δ' αιψ' εξελθουσα θυρας ὤιξε h) φαεινας,

f) αμφιμυκαω. g) καλεω. h) οιγω.

Και καλει· όι δ' άμα παντες αϊδρειῃσιν έποντο·
Ευρυλοχος δ' ὑπεμεινεν, όϊσσαμενος δολον ειναι.
Ἑισεν δ' εισαγαγουσα κατα κλισμους τε, θρονους τε,
Εν δε σφιν τυρον τε και αλφιτα και μελι χλωρον
Οινῳ Πραμνειῳ εκυκα· i) ανεμισγε l) δε σιτῳ
Φαρμακα λυγρ', ίνα παγχυ λαθοιατο πατριδος αιης.
Αυταρ επει δωκε τε και εκπιον, αυτικ' επειτα
Ῥαβδῳ πεπληγυια, m) κατα συφεοισιν εεργνυ. n)
Ὁι δε συων μεν εχον κεφαλας, φωνην τε, δεμας τε,
Και τριχας, αυταρ νους ην εμπεδος, ὡς το παρος περ.
Ὡς όι μεν κλαιοντες εερχατο· Τοισι δε Κιρκη
Παρ ῥ' ακυλον βαλανον τ' εβαλε, καρπον τε κρανειης,
Εδμεναι, όια συες χαμαιευναδες αιεν εδουσιν.

Ευρυ-

i) κυκαω. l) αναμιγνυμι. m) πληττω, od. πλησσω n) ειργω.

Ευρυλοχος δ' αιψ' ηλθε θοην επι νηα μελαιναν,
Αγγελιην ἑταρων ερεων και αδευκεα ποτμον.
Ουδε τι εκφασθαι δυνατο επος, ἱεμενος περ,
Κηρ αχεϊ μεγαλῳ βεβολημενος· o) εν δε ὁι οσσε
Δακρυοφι πιμπλαντο, γοον δ' ωϊετο θυμος.
Αλλ' ὁτε δη μιν παντες αγασσαμεθ' εξερεοντες,
Και τοτε των αλλων ἑταρων κατελεξεν ολεθρον·

Ηιομεν, ὡς εκελευες, ανα δρυμα, φαιδιμ' Οδυσσευ·
Ἑυρομεν εν βησσῃσι τετυγμενα δωματα καλα
Ξεστοισι λαεσσι περισκεπτῳ ενι χωρῳ.
Ενθα δε τις μεγαν ἱστον εποιχομενη λιγ' αειδεν,
Η θεος, ηε γυνη· τοι δ' εφθεγγοντο καλευντες.
Ἡ δ' αιψ' εξελθουσα θυρας ωϊξε φαεινας,
Και καλει· ὁι δ' ἁμα παντες αϊδρειῃσιν ἑποντο·
Αυταρ εγων ὑπεμεινα, ὀϊσσαμενος δολον ειναι.

Οἱ

o) βολεω od. βαλλω.

Οἱ δ' αἰμ' αϊστωθησαν αολλεες, ȣδε τις αυτων
Εξεφανη· δηρον δε καθημενος εσκοπιαζον.

Ὡς εφατ'· αυταρ εγω περι μεν ξιφος αργυροηλον
Ωμοιιν p) βαλομην, μεγα, χαλκεον· αμφι δε τοξα.
Τον δ' αιψ' ηνωγεα αυτην ὁδον ἡγησασθαι.
Αυταρ ὁγ' αμφοτερῃσι λαβων ελλισσετο q) γουνων.
Και μ' ολοφυρομενος επεα πτεροεντα προσηυδα·

Μη μ' αγε κεισ' αεκοντα, Διοτρεφες, αλλα λιπ' αυτȣ·
Οιδα γαρ, ὡς ȣτ' αυτος ελευσεαι, ȣτε τιν' αλλον
Αξεις σων ἑταρων· αλλα ξυν τοισδεσι θασσον
Φευγωμεν· ετι γαρ κεν αλυξαιμεν κακον ημαρ.

Ὡς εφατ'· αυταρ εγω μιν αμειβομενος προσεειπον·

Ευρυ-

p) dual. v. ωμος. q) λισσομαι.

Ευρυλοχ', ητοι μεν συ μεν' αυτȣ τῳδ' ενι χωρῳ

Εσθων και πινων, κοιλῃ παρα νηΐ μελαινῃ·

Αυταρ εγων ειμι· κρατερη δε μοι επλετ' r) αναγκη.

Ὡς ειπων, παρα νηος ανήϊον, ηδε θαλασσης.

Αλλ' ότε δη αρ' εμελλον, ιων ἱερας ανα βησσας,

Κιρκης ἱξεσθαι πολυφαρμακȣ ες μεγα δωμα,

Ενθα μοι Ἑρμειας χρυσορραπις αντεβολησεν

Ερχομενῳ προς δωμα, νεηνιῃ ανδρι εοικως,

Πρωτον ὑπηνητῃ· τȣπερ χαριεστατη ἡβη·

Εν τ' αρα μοι φυ χειρι, επος τ' εφατ', εκ τ' ονομαζε·

Πη δ' αὑτως, δυστηνε, δι' ακριας ερχεαι οιος,

Χωρȣ αιδρις εων; ἑταροι δε τοι οἱδ' ενι Κιρκης

Ερχαται, ὡστε συες πυκινȣς κευθμωνας εχοντες.

Η τȣς λυσομενος δευρ' ερχεαι; ȣδε σε φημι

Αυτον νοστησειν, μενεεις δε συ, ενθα περ αλλοι.

Αλλ'

r) πελομαι.

Αλλ' αγε δη σε κακων εκλυσομαι, ηδε σαωσω·
Τη τοδε φαρμακον εσθλον, εχων δ' ες δωματα Κιρκης
Ερχευ, ὁ κεν τοι κρατος αλαλκησει κακον ημαρ.
Παντα δε τοι ερεω ολοφωϊα δηνεα Κιρκης·
Τευξει τοι κυκεω, βαλεει δ' ενι φαρμακα σιτῳ·
Αλλ' ουδ' ὡς θελξαι σε δυνησεται· ου γαρ εασει s)
Φαρμακον εσθλον, ὁ τοι δωσω, ερεω δε ἑκαστα·
Ὁπποτε κεν Κιρκη σ' ελασῃ περιμηκεϊ ραβδῳ,
Δη τοτε συ ξιφος οξυ ερυσσαμενος παρα μηρου,
Κιρκη επαϊξαι, ὡστε κταμεναι μενεαινων.
Ἡ δε σ' ὑποδδεισασα κελησεται ευνηθηναι·
Ενθα συ μηκετ' επειτ' απανηνασθαι θεου ευνην,
Οφρα κε τοι λυσῃ θ' ἑταρους, αυτον τε κομισσῃ·
Αλλα κελεσθαι μιν μακαρων μεγαν ὁρκον ομοσσαι·
Μητι τοι αυτῳ πημα κακον βουλευσεμεν αλλο·

Μη

s) εαω.

Μη σ' απογυμνωθεντα κακον και ανηνορα θειη.

Ὡς αρα φωνησας πορε φαρμακον Αργειφοντης,
Εκ γαιης ερυσας, και μοι φυσιν αυτου εδειξε.
Ῥιζῃ μεν μελαν εσκε, t) γαλακτι δε εικελον ανθος·
Μωλυ δε μιν καλεουσι θεοι· χαλεπον δε τ' ορυσσειν
Ανδρασι γε θνητοισι· θεοι δε τε παντα δυνανται.
Ἑρμειας μεν επειτ' απεβη προς μακρον Ολυμπον,
Νησον αν' ὑληεσσαν· εγω δ' ες δωματα Κιρκης
Ηϊα· πολλα δε μοι κραδιη πορφυρε κιοντι.
Εστην δ' εινι θυρῃσι θεας καλλιπλοκαμοιο·
Ενθα στας εβοησα, θεα δε μευ εκλυεν αυδης.
Ἡ δ' αιψ' εξελθουσα θυρας ωϊξε φαεινας,
Και καλει· αυταρ εγων ἑπομην, ακαχημενος ητορ.
Εισε δε μ' εισαγαγουσα ἐπι θρονου αργυροηλου,

Καλου,

t) ειμι.

Καλου, δαιδαλεου, ὑπο δε θρηνυς ποσιν u) ηεν·
Τευξε δε μοι κυκεω χρυσεῳ δεπα', οφρα πιοιμι·
Εν δε τε φαρμακον ἧκε, κακα φρονεουσ' ενι θυμῳ.
Αυταρ επει δωκε τε και εκπιον, ουδε μ' εθελξε,
Ῥαβδῳ πεπληγυια, επος τ' εφατ', εκ τ' ονομαζεν·
Ερχεο νυν συφεονδε, μετ' αλλων λεξο ἑταιρων.

Ὡς φατ'· εγω δ' αορ οξυ ερυσσαμενος παρα μηρου,
Κιρκῃ επήϊξα, ὡςε κταμεναι x) μενεαινων.
Ἡ δε μεγα ιαχουσα ὑπέδραμε, και λαβε γουνων,
Και μ' ολοφυρομενη επεα πτεροεντα προσηυδα·
Τις; ποθεν εις ανδρων; ποθι τοι πολις, ηδε τοκηες;
Θαυμα μ' εχει, ὡς ουτι, πιων ταδε φαρμακ', εθελχθης. y)

Ουδε

u) πους. x) κτεινω. y) θελγω.

Ουδε γαρ ȣδε τις αλλος ανηρ ταδε φαρμακ' ανετλη,
Ὃς κε πιῃ, και πρωτον αμειψεται ἑρκος οδοντων·
Σοι δε τις εν ϛηθεσσιν ακηλητος νοος εϛιν.
Η συ γ' Οδυσσευς εσσι πολυτροπος, ὃν τε μοι αιει
Φασκεν ελευσεσθαι χρυσορραπις Αργειφοντης,
Εκ Τροιης ανιοντα θοῃ συν νηϊ μελαινῃ.
Αλλ' αγε δη κολεῳ μεν αορ θεο, νωϊ δ' επειτα
Ευνης ἡμετερης επιβησομεν, οφρα μιγεντε z)
Ευνῃ και φιλοτητι, πεποιθομεν αλληλοισιν.

Ὡς εφατ', αυταρ εγω μιν αμειβομενος προσεειπον·
Ω Κιρκη, πως γαρ με κελῃ σοι ηπιον ειναι;
Ἡ μοι συς μεν εθηκας ενι μεγαροισιν ἑταιρȣς·
Αυτον δ' ενθαδ' εχȣσα, δολοφρονεȣσα κελευεις
Ες θαλαμον τ' ιεναι, και σης επιβημεναι ευνης,
Οφρα με γυμνωθεντα, κακον και ανηνορα θειης;
Ουδ' αν εγωγ' εθελοιμι τεης επιβημεναι ευνης,
Ει

z) μιγνυω.

Ει μη μοι τλαιης γε, θεα, μεγαν ὁρκον ομοσσαι,
Μητι μοι αυτῳ πημα κακον βȣλευσεμεν αλλο.

Ὡς εφαμην· ἡ δ' αυτικ' απωμνυεν, ὡς εκελευον.
Αυταρ επει ῥ' ομοσε τε, τελευτησε τε τον ὁρκον,
Και τοτ' εγω Κιρκης επεβην περικαλλεος ευνης.
Αμφιπολοι δ' αρα κεδναι ενι μεγαροισι πενοντο
Τεσσαρες, ἁι ὁι δωμα κατα δρηστειραι εασι.
Γινονται δ' αρα ται γ' εκ τε κρηνεων, απο τ' αλσεων,
Εκ θ' ἱερων ποταμων, ὁιτ' εις ἁλαδε προρεȣσι.
Ταων ἡ μεν εβαλλε θρονοις ενι ῥηγεα καλα
Πορφυρεα καθυπερθ', ὑπενερθε δε λιθ' ὑπεβαλλεν·
Η δ' ἑτερη προπαροιθε θρονων ετιταινε τραπεζας
Αργυρεας, επι δε σφι τιθει χρυσεια κανεια·
Ἡ δε τριτη κρητηρι μελιφρονα οινον εκιρνα a)

Ἡδυν

a) κιρναω.

Ἡδυν εν αργυρεῳ, νεμε δε χρυσειας κυπελλας·
Ἡ δε τεταρτη ὑδωρ εφορει, και πυρ ανεκαιε
Πολλον ὑπο τριποδι μεγαλῳ· ιαινετο δ' ὑδωρ.
Αυταρ επειδη ζεσσεν b) ὑδωρ ενι ηνοπι χαλκῳ,
Ες ῥ ασαμινθον ἑσασα, c) λο' d) εκ τριποδος μεγαλοιο,
Θυμηρες κερασασα κατα κρατος τε και ωμων,
Οφρα μοι εκ καματον θυμοφθορον ἑιλετο γυιων.
Αυταρ επει λȣσε τε και εχρισε λιπ' ελαιῳ,
Αμφι δε με χλαιναν καλην βαλεν, ηδε χιτωνα·
Ἑισε δε μ' εισαγαγȣσα επι θρονȣ αργυροηλȣ,
Καλȣ, δαιδαλεου· ὑπο δε θρηνυς ποσιν ηεν.
Χερνιβα δ' αμφιπολος προχοῳ επεχευε φερȣσα
Καλῃ, χρυσειῃ, ὑπερ αργυρεοιο λεβητος,
Νιψασθαι· παρα δε ξεστην ετανυσσε τραπεζαν.
Σιτον δ' αιδοιη ταμιη παρεθηκε φερȣσα,

Ειδα-

b) ζεω. c) part. aor. 1. ion. v. ἑω. d) λοεω.

Ειδατα πολλ' επιθεισα, χαριζομενη παρεοντων.
Εσθεμεναι δ' εκελευεν· εμῳ δ' ουχ ἡνδανε θυμῳ·
Αλλ' ἡμην αλλα φρονεων, κακα δ' οσσετο θυμος.
Κιρκη δ' ὡς ενοησεν εμ' ἡμενον, ουδ' επι σιτῳ
Χειρας ιαλλοντα, στυγερον δε με πενθος εχοντα,
Αγχι παριϛαμενη επεα πτεροεντα προσηυδα·

Τιφθ' ουτως, Οδυσευ, κατ' αρ' ἑζεαι ισος αναυδῳ,
Θυμον εδων; βρωμης δ' ουχ ἁπτεαι ουδε ποτητος;
Η τινα που δολον αλλον οἰεαι, ουδ' ετι σε χρη
Δειδιμεν· ηδη γαρ τοι απωμοσα καρτερον ὁρκον.

Ὡς εφατ'· αυταρ εγω μιν αμειβομενος προσεειπον·
Ω Κιρκη, τις γαρ κεν ανηρ, ὁς εναισιμος ειη,
Πριν τλαιη πασσασθαι εδητυος ηδε ποτητος,
Πριν λυσασθ' ἑταρους και εν οφθαλμοισιν ιδεσθαι;
Αλλ' ει δη προφρασσα πιειν, φαγεμεν τε κελευεις,

Λυσον,

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Λυσον, ἱν' οφθαλμοισιν ιδω εριηρας ἑταιρους.

Ὡς εφαμην· Κιρκη δε δι' εκ μεγαροιο βεβηκει, e)
Ραβδον εχουσ' εν χειρι, θυρας δ' ανεῳγε f) συφειου,
Εκ δ' ελασε σιαλοισιν εοικοτας εννεωροισιν.
Ὁι μεν επειτ' εστησαν εναντιοι· ἡ δε δι' αυτων
Ερχομενη προσαλειφεν ἑκαστῳ φαρμακον αλλο.
Των δ' εκ μεν μελεων τριχες ερρεον, ἁς πριν εφυσσε
Φαρμακον ουλομενον, το σφι πορε ποτνια Κιρκη·
Ανδρες δ' αιψ' εγενοντο νεωτεροι, η παρος ησαν,
Και πολυ καλλιονες και μειζονες εισοραασθαι.
Εγνωσαν δε με κεινοι, εφυν τ' εν χερσιν ἑκαστος.
Πασιν δ' ἱμεροεις ὑπεδυ γοος, αμφι δε δωμα
Σμερδαλεον κοναβιζε· θεα δ' ελεαιρε και αυτη.
Ἡ δε μευ αγχι στασα προσηυδα δια θεαων·

e) βαινω. f) ανοιγω.

Διογενες Λαερτιαδη, πολυμηχαν᾽ Οδυσσευ,
Ερχεο νυν επι νηα θοην και θινα θαλασσης·
Νηα μεν αρ παμπρωτον ερυσσατε ηπειρονδε,
Κτηματα δ᾽ εν σπηεσσι πελασσατε, ὁπλα τε παντα·
Αυτος δ᾽ αιψ᾽ ιεναι, και αγειν εριηρας ἑταιρους.

Ὡς εφατ᾽· αυταρ εμοιγ᾽ επεπειθετο θυμος αγηνωρ·
Βην δ᾽ ιεναι επι νηα θοην και θινα θαλασσης.
Ευρον επειτ᾽ επι νηϊ θοῃ εριηρας ἑταιρους
Οικτρ᾽ ολοφυρομενους, θαλερον κατα δακρυ χεοντας.
Ὡς δ᾽ ὁταν αγραυλοι πορτιες περι βους αγελαιας
Ελθουσας ες κοπρον, επην βοτανης κορεσωνται,
Πασαι ἁμα σκαιρουσιν εναντιαι· ουδετι σηκοι
Ισχουσ᾽, αλλ᾽ αδινον μυκωμεναι αμφιθεουσι
Μητερας· ὡς εμε κεινοι, επει ιδον οφθαλμοισι,
Δακρυοεντες εχυντο· δοκησε δ᾽ αρα σφισι θυμος

Ὡς

Ὡς εμεν, ὡς ει πατριδ' ἱκοιατο και πολιν αυτων
Τρηχειης Ιθακης, ἱνα τ' ετραφεν, ηδ' εγενοντο·
Και μ' ολοφυρομενοι επεα πτεροεντα προσηυδων·

Σοι μεν νοϛησαντι, Διοτρεφες, ὡς εχαρημεν,
Ὡς ειτ' εις Ιθακην αφικοιμεθα πατριδα γαιαν·
Αλλ' αγε, των αλλων ἑταρων καταλεξον ολεθρον.

Ὡς εφαν· αυταρ εγω προσεφην μαλακοις επεεσσιν·
Νηα μεν αρ παμπρωτον ερυσσομεν ηπειρονδε,
Κτηματα τ' εν σπηεσσι πελασσομεν, ὁπλα τε παντα·
Αυτοι δ' οτρυνεσθε εμοι ἁμα παντες ἑπεσθαι,
Οφρα ἰδηθ' ἑταρους ἱεροις εν δωμασι Κιρκης,
Πινοντας και εδοντας· επηετανον γαρ εχουσιν.

Ὡς εφαμην· οἱ δ' ωκα εμοις επεεσσι πιθοντο·
Ευρυλοχος δε μοι οιος ερυκανε παντας ἑταιρους,

Και σφεας φωνησας επεα πτεροεντα προσηυδα·
Α δειλοι, ποσ' ιμεν; τι κακων ἱμειρετε τȣτων
Κιρκης ες μεγαρον καταβημεναι; ἥ κεν ἁπαντας
Η συς, ηε λυκȣς ποιησεται, ηε λεοντας·
Ὁι κεν ὁι μεγα δωμα φυλασσοιμεν και αναγκῃ.
Ὥσπερ Κυκλωψ ερξ' g), ὁτε ὁι μεσσαυλον ἱκοντο
Ἡμετεροι ἑταροι, συν δ' ὁ θρασυς ἑιπετ' Οδυσσευς·
Τȣτȣ γαρ και κεινοι αταθαλιῃσιν ολοντο.
Ὡς εφατ' αυταρ εγωγε μετα φρεσι μερμηριξα,
Σπασσαμενος τανυηκες αορ παχεος παρα μηρȣ,
Τῳ ὁι αποτμηξας h) κεφαλην ȣδασδε πελασσαι,
Και πηῳ περ εοντι μαλα σχεδον· αλλα μ' ἑταιροι
Μειλιχιοις επεεσσιν ερητυον αλλοθεν αλλος·
Διογενες, τȣτον μεν εασομεν, ει συ κελευεις,

Αυ-

g) ρεξω. h) αποτεμνω, od. αποτμαω.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Αυτου παρ νηΐ τε μενειν, και νηα ερυσθαι·
Ἡμιν δ' ἡγεμονευ' ἱερα προς δωματα Κιρκης.

Ὡς φαμενοι, παρα νηος ανηϊον ηδε θαλασσης.
Ουδε μεν Ευρυλοχος κοιλῃ παρα νηϊ λελειπτο,
Αλλ' ἑπετ'· εδδεισε γαρ εμην εκπαγλον ενιπην.
Τοφρα δε τους αλλους ἑταρους εν δωμασι Κιρκη
Ενδυκεως λουσε τε, και εχρισε λιπ' ελαιῳ·
Αμφι δ' αρα χλαινας ουλας βαλεν, ηδε χιτωνας·
Δαινυμενους δ' αρα παντας εφευρομεν εν μεγαροισιν.
Οἱ δ' επει αλληλους ειδον, φρασσαντο τε παντα,
Κλαιον οδυρομενοι, περι δε στοναχιζετο δωμα.
Ἡ δε μευ αγχι στασα προσηυδα δια θεαων·

Διογενες Λαερτιαδη, πολυμηχαν' Οδυσσευ,
Μηκετι νυν θαλερον γοον ορνυτε· οιδα και αυτη
Ημεν ὁσ' εν ποντῳ παθετ' αλγεα ιχθυοεντι,
Ηδ' ὁσ' αναρσιοι ανδρες εδηλησαντ' επι χερσου.
Αλλ' αγετ', εσθιετε βρωμην, και πινετε οινον,
Εισοκεν αυτις θυμον ενι στηθεσσι λαβητε,

Ὁιον

Ὁιον ὁτε πρωτιστον ελειπετε πατριδα γαιαν
Τρηχειης Ιθακης· νυν δ' ασκελεες και αθυμοι,
Αιεν αλης χαλεπης μεμνημενοι ουδε ποθ' ὑμιν
Θυμος εν ευφροσυνῃ, επει ἠ μαλα πολλα πεποθε.

Ὡς εφαθ'· ἡμιν δ' αυτ' επεπειθετο θυμος αγηνωρ.
Ενθα μεν ηματα παντα τελεσφορον εις ενιαυτον
Ημεθα, δαινυμενοι κρεα τ' ασπετα και μεθυ ἡδυ.

Ver-

Verzeichniß
der mehresten
in vorhergehenden Stücken vorkommenden Wörter.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

A

Ἁ für ἑα, n pl. seine.

Αγαμαι, ich bewundre, erstaune.

Αγγελιη, ἡ, die Nachricht.

Αγγος, εος, το, jede Art Gefäße.

Αγελαιος, η, ον, zur Heerde gehörig.

Αγηνωρ, ὁ ἡ, was in seiner Art gut ist. θυμος αγ. vorsichtig.

Αγλαος, helle, klar, glänzend.

Αγορα, ἡ, die Versammlung.

Αγορευω, reden.

Αγραυλος, ὁ, η, ländlich.

Αγριος, ια, ον, wild.

Αγχι, neben, an, nahe, bey.

Αγω, auch αγαγω, ich führe, ziehe.

Αδευκης, bitter, hart.

Αδινον, adv. unaufhörlich.

Αειδω, ich singe.

Αεικελιος, η, ον, verunstaltet, häßlich.

Αειρω, ich hebe auf.

Αεκων, wider Willen.

Αεξω, ich vermehre, lasse gedeihen.

Αζαλεος, dürre, trocken. (vom Holz gebraucht.)

Ἁζομαι, ich bitte, ehre, fürchte.

Αηρ, το, die dicke Luft, Nebel.

Αητη, ἡ, die Luft, der Wind.

Αθανατος, unsterblich.

Αθεμιςιος, ὁ, ἡ, auch αθεμιςος, ungerecht, tyrannisch, grausam.

Αθηνη, ἡ, die Minerva, Schutzgöttin des Ulyß.

Αθροος, häufig.

Αθυμος, muthlos.

Αια, ἡ, für γαια das Land.

Αιαιη, die Insul der Circe.

Αιγανεα, oder Αιγανεη, eine Art Geschoß.

Αιγειρος, ἡ, der Pappelbaum.

Αιγεος, η, ον, was von Ziegenfell ist.

Αιγιοχος, der die Aegide führt, Beyname des Jupiters.

Αϊδρεια, ἡ, die Unwissenheit, Unvorsichtigkeit.

Αϊδρις, unwissend, unbekannt.

Αιδεομαι, ich halte in Ehren, verehre.

Αιδοιος, fromm, lieb.

Αιητης, Aeetes, Fürst in Colchis, Bruder der Circe.

Αιθοψ, οπος, röthlich, vom Wein gebr., 2. vom Rauch, also: rauchfarbig.

Αἱμα, το, das Blut.

Αινος, η, ον fürchterlich. Αινως, Adv.

Αινομαι ich nehme, nehme weg.

Αινομορος, unglücklich.

Αιξ, αιγος, ὁ, ἡ, die Ziege.

Αιολιη, Aeolia eine Insul im Mittelländ. Meere, wo Aeolus, Herrscher und Gott der Winde, residirt haben soll.

Αιολος, Aeolus, der Gott der Winde.

Αιρεω, nehmen, einnehmen; z. B. eine Stadt; auch eine Mahlzeit halten.

Αιπυς, εια, υ, hoch, tief. (vom Tode gebr.)

Αϊς, αϊδος, der Orcus, der Gott der Unterwelt

Αισα, ἡ, das Schicksal.

Αϊςοω, jemanden das Andenken entreißen.

Αιτεω, ich bitte.

Αιψα, sogleich.

Αϊω, ich höre.

Αιων, das Leben, die Lebenszeit.

Ακαχημενος, traurig, niedergeschlagen. — ητορ, d. i. κατα ητορ, im Herzen. von ακαχεω.

Ακεων, Adv. in der Stille.

Ακηλητος, der nicht zu bezaubern ist, nicht hintergangen werden kann.

Ακηρασιος, ὁ, ἡ, ungemischt, rein (vom Wein gebr.)

Ακικυς, υος, ὁ, ἡ, schwach, ohnmächtig.

Ακνησις, ἡ, das Rückgrad.

Ακοιτης, ὁ, ἡ, der Gemahl, die Gattin.

Ακεω, ich höre.

Ακρητος, unvermischt. γαλα ἀκρητον, die pure Milch.

Ακρις, ἡ, die Bergspitze. Ακρη, ebend.

Ακτη, ἡ, das Ufer, Gestade.

Ακυλος, ἡ, die Eichel.

Αλαλημι, ich irre, schweife herum.

Αλαλκεω, ich halte ab, wende ab.

Αλαομαι, ich irre herum.

Αλαοω, ich beraube des Gesichts, mache blind.

Αλαωτυς, υος, ἡ, die Blindheit.

Αλγος, το, das Ungemach, Schmerz.

Αλεγω, ich bekümmre mich um etwas.

Αλεξεω, ich helfe, leiste Hülfe.

Αλευω, vermeiden, ausbeugen; daher inf. a. 1. αλεξασθαι, für αλευασθαι.
Αλη, ἡ, die Irre, Verirrung.
Αλκη, ἡ, die Stärke.
Αλληλοι, untereinander.
Αλλοδαπος, ὁ, ἡ, auswärtig, fremd.
Αλλοτριος, fremd, nicht eigen.
Αλλυδις, dorthin, αλλυδις, αλλη hiehin, dorthin.
Ἁλμυρος, α, ον, salzig. (v. Meer gebr.)
Αλοχος, ἡ, die Gattin, Beyschläferin.
Ἁλς, ἡ, das Meer.
Αλσος, το, der Hayn, Wald.
Αλυσσω, ich fürchte.
Αλυω, ich irre, bin unruhig, traurig.
Αλφιτον, το, das Mehl.
Ἁμαξα, ἡ, der Wagen.
Ἁμαρτεομαι, ich komme um etwas, z. B. οπωπης, um das Gesicht.
Αμαω, ich mähe; daher: erndte, sammle.
Αμβαινειν, hinaufsteigen.
Αμβροτος, göttlich. Αμβροσιος.
Αμειβεσθαι, abwechseln; αμειβομενος προσεειπεν, er antwortete ihm.
Αμελγω, ich milche, melke.
Αμπελος, ἡ, der Weinberg, Weinstock.
Αμηχανιη, ἡ, die Bestürzung.
Αμμες für ἡμεις, wir.
Αμυμων, vortrefflich, glücklich.
Αμφιβαινειν, herumgehen; 2. beherrschen, beschützen.
Αμφιελισσος, η, ον, Beyw. d. Schiffs, welches durch Ruder von beiden Seiten getrieben, bewegt wird.
Αμφιθεω, ich laufe herum.
Αμφιμυκαω, wiederhallen, von allen Orten den Schall wiedergeben.
Αμφιπολος, ὁ, ἡ, der Diener, Dienerin.
Αμφιφορευς, εως, ὁ, ein Gefäß, Krug mit zwey Henkeln.
Αμφοτερωθεν, von beiden Seiten.
Αναγκη, ἡ, die Nothwendigkeit, der Zwang.
Αναδυμι, αναδυω, sich entziehen, zurückziehen.
Αναινομαι, ich sage, verweigre.
Αναϊσσω, auffahren, aufstehen, mit Wuth.
Ανακαιω anbrennen, anzünden.
Ανακλινω, zurückbeugen.
Αναλκις, schwach, ohnmächtig.
Αναμιγνυμι, ich mische.
Αναξ, κτος, ὁ, König, Herrscher, Herr, überh.

Αναπτω, ich bevestige, passe etwas an.
Αναρσιος, grausam, böse.
Ανασσω, ich herrsche, bin Herr.
Ανατλημι, ich ertrage, vertrage.
Ανατρεχω, steil seyn.
Αναυδος, stumm.
Αναφαινεσθαι, offenbar, deutlich seyn.
'Ανδανω, ich gefalle.
Ανδρομεος, was vom Menschen ist.
Ανεγειρω, ich muntre auf.
Ανειμι, ich gehe auf, (v. d. Sonne.) ich steige hinauf.
Ανεκτως, erträglich.
Ανεμος, ὁ, der Wind.
Ανεος, stumm, still.
Ανεχω, ich halte empor, hebe auf.
Ανημελκτος, nicht gemolken. (von Schaafen.)
Ανηνωρ, thierisch.
Ανηροτος, ungepflügt, ungebauet.
Ανθινος, blumenreich.
Ανθος, το, die Blume, Blüthe.
Ανοιγω, ich öffne.
Αντιβολεω, ich komme entgegen.
Αντικρυ, Adv. durch und durch, gänzlich.
Αντρον, το, die Höhle.
Ανωγεω, ich gebiete, ordne an.

Αολλης, gehäuft, ἀολλεες, plur. miteinander.
Αορ, το, das Schwerdt.
Απαγγελλω, ich bringe Nachricht.
Απαναινομαι, ich verweigere.
Απανευθεν, abgesondert.
Απειμι, ich gehe weg.
Απειμι, ich bin nicht da, bin entfernt.
Απειρεσιος, ὁ, ἡ, und απειρεσιος, α, ον, groß, unermeßlich.
Απειριτος, unermeßlich.
Απερυκω, ich scheuche hinweg, halte ab.
Απεχθημαι, ich bin verhaßt.
Απεχομαι, ich enthalte mich.
Αποβριζω, ich schlafe.
Απογυμνοω, ich entblöße.
Αποδοχμοω, zusammenkrümmen, sich beugen, herumdrehen.
Αποκοπτω, ich haue, schneide ab.
Απολλυμι, ich verderbe, richte zu Grunde.
Απολειπω, ich lasse übrig.
Απονεομαι, ich kehre wieder.
Αποξυω, ich scheele, schabe ab.
Αποπλαζομαι, ich irre herum, schweife ab.
Αποπροθεν, fern her.
Απορρασσω, ich reiße los.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-119201415-318262150-14

Αποῤῥωξ, ωγος, Quell, Ausfluß e. Flußes, auch Strudel.

Αποσευω, αποσειω, — αποσευομαι, αποσυομαι, ich werde in die Höhe geprellt, springe auf.

Αποτεμνω, ich schneide ab.

Αποτηλε, fern.

ΑποΦθιω, ich verderbe, richte zu Grunde.

Ἅπτω, ich zünde an. ἅπτομαι, ich brenne an, entzünde mich.

Ἀπτω, ich füge zusammen, berühre.

Απυω, ich rufe, schreye.

Απωθεω, ich treibe zurück.

Αρασσω, ich erschüttere, zerschelle.

ΑργειΦοντης, Mercur.

Αργυροηλος, was mit silbernen Buckeln versehen, beschlagen ist.

Αργυρος, ὁ, das Silber.

Αρειων, compar. der stärkere.

Αραομαι — daher ἀρημενος, einer dem Schaden zugefügt ist.

Αριςος, der stärkste, beste.

Αριθμεω, ich zähle, 2. ich theile ab.

Αρνειος, ein Bock.

Αροσις, die Bearbeitung des Ackers.

Αροτος, ὁ, der Ackerbau.

Αρουρα, η, die Erde, das Land.

Αροω, ich baue den Acker.

Ἁρπαζω, ich raube, 2. reiße mit Gewalt fort.

Αρσην, n. αρσεν, od. αῤῥην, αῤῥεν, das männliche von Mensch und Thier.

Αρχος, der Anführer.

Αρχω, ich fange an, bin der erste.

Ασαμινθος, das Waschbecken.

Ασκελης, kraftlos.

Ασκηθης, unbeschädigt.

Ασκος, ὁ, der Schlauch, Sack.

Ασμενος, η, ον, erfreuet.

Ασπαρτος, ου, ὁ, ἡ, unbesäet, und ungesäet.

Ασπασιος, angenehm.

Ασπετος, ὁ, ἡ, groß, viel.

Ασσον, Adv. nahe, näher.

Αςυ, το, die Stadt.

Αταρ, aber, dann.

Αταθαλιη, ἡ, die Thorheit, die Unvorsichtigkeit.

Ατρειδης, ein Atride, Sohn des Atreus.

Ατρυγετος, unfruchtbar, Beyw. des Meers.

Αυαινω, ich mache trocken.

Αυδη, ἡ, die Stimme.

Αυδηεις, εσσα, εν, mit einer schönen Stimme begabt.

Αυλη, die Horde, der Stall.

Αϋπνος, unruhig, schlaflos

Αυταρ, hingegen, aber.

Αυτικα, sogleich.

Αὐτμη, die Glut.
Αυτοκασιγνητη, die leibliche Schwester.
Αυχην, ενος, ὁ, der Hals, Nacken.
Αὔω, ich rufe.
Αφαρ, sogleich, darauf.
Αφθιτος, ὁ, ἡ, immerdaurend.
Αφικομαι, ich komme an, irgend wohin.
Αφικανω, ebend.
Αφραδιη, ἡ, Unwissenheit, Verblendung.
Αφυω, ich schöpfe, zapfe.
Αχθος, το, die Last die Schwere, alles, was getragen wird. z. B. αχθος ὑλης, ein Bündel Holz.
Αχος, το, der Schmerz, Betrübniß.
Αψορρον, wiederum, noch einmal.
Αω, αημι, ich wehe, blase.
Αωτον, το, die Wolle.

B.

Βαθυς, εια, υ, tief, hoch, dicht.
Βαλανος, ἡ, eine Art von Eicheln.
Βαλλω, ich werfe, ich lege, ich schieße.
Βαρυς, schwer. βαρεα, Adv.
Βαπτω, ich tauche ein.
Βελος, alles, womit man wirft; z. B. ein Pfeil, Stein ꝛc.
Βησσαι, αἱ, das Thal.
Βιαζομαι, ich thue Gewalt an.
Βιβημι, ich gehe, schreite.
Βιηφι, mit Gewalt.
Βλεφαρον, το, das Augenlied, Auge.
Βοαω, ich rufe, schreie.
Βοη, ἡ, die Stimme, der Zuruf.
Βορευς, Boreas, Name eines Windes.
Βοσκω, ich weide.
Βοτανη, ἡ, das Kraut, Gras.
Βουλευω, ich überlege, will
Βουλη, ἡ, der Anschlag, Vorsatz.
Βουληφορος, ὁ, ἡ, berathend.
Βουλυτος, ὁ, der Abend.
Βριζω, ich bin voll, beuge mich vor Schwere.
Βροτος, ὁ, der Sterbliche, der Mensch.
Βρωμα, das Essen, die Speise.
Βρωσις, die Speise.
Βυκτης, ὁ, brausend, stürmend.
Βυσσοδομευω, ich überlege.

Γ.

Γαια, ἡ, die Erde.
Γαιηοχος, Beyname Neptuns, der die Erde umgiebt.

Γαλα,

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Γαλα, το, die Milch.
Γαυλος, ε, ὁ, das Milchgefäß, in welches gemolken wird.
Γεγωνω, ich schreye laut.
Γεινομαι od. γαω, ich werde gebohren, oder ich bin.
Γειτων, ὁ, ἡ, der Nachbar, der einem zunächst steht.
Γελαω, ich lache, bin vergnügt.
Γλαφυρος, (von einer Höhle) weit, gewölbt (auch von Schiffen gebr.)
Γληνη, das Auge
Γλυκυς, sanft, angenehm.
Γοαω, γοαομαι, ich weine, klage.
Γονυ, το, plur. γονατα, γενατα, auch τα γενα, die Knie.
Γοος, ὁ, die Wehklage, Trauren.
Γυια, τα, die Glieder, Schenkel, Knie rc.
Γυμνωθεις, entkleidet, 2. entwaffnet. v. γυμνοω.

Δ.

Δαεω, δαεω, ich weiß, erfahre.
Δαζω, δαζομαι, ich vertheile.
Δαιδαλεος, künstlich gearbeitet.
Δαιμων, Gottheit, Schutzgeist, Genius.
Δαινομαι, ich halte eine Mahlzeit, esse; daher 2. leben, seyn.
Δαις, δαιτος, ἡ, die Mahlzeit.
Δαιτηθεν, zur Mahlzeit, zu Tische.
Δαιω, ich theile aus.
Δακρυ, το, die Thräne.
Δαμαω, ich besiege, bändige.
Δαπεδον, το, der Fußboden, die Grotte.
Δασυμαλλος, ὁ, ἡ, was dichte Wolle hat, (von Schaafen gebr.)
Δαφνη, ἡ, der Lorbeerbaum.
Δειδω, ich fürchte.
Δεικω, δεικνυμι, ich zeige.
Δειλος, elend, unglücklich.
Δεινεω, ich esse.
Δεινος, η, ον, mächtig, (von der Circe gebr. in Rücksicht auf Zauberey,) auch groß.
Δειπνεω, ich esse.
Δειπνον, το, das Mahl, Mahlzeit.
Δειρη, für δερη, das Fell, Leder.
Δεμας, το, der Leib, Körper.
Δεμω, ich baue
Δενδρηεις, εσσα, εν, mit Bäumen bewachsen.
Δεπας, το, der Becher, Gefäß.
Δερκω, ich sehe.

Δευτερον, zum zweytenmale.
Δευω, ich mache naß.
Δεχομαι, ich nehme, 2. glaube, erwarte.
Δεω, ich binde.
Δηϊαω, ich verheere feindlich, behandle feindlich, tödte.
Δηλεω, ich verletze, schade.
Δημὸς, ὁ, das Fett.
Δηνος, εος, το, die List, Verschlagenheit.
Δηρον, lange.
Διακρινω, ich sondre ab.
Διαμελεϊστι, Stück vor Stück.
Διαπερθω, ich verwüste, verheere.
Διασχιζω, ich zerspalte, zerreiße.
Διαφαινεσθαι, durchscheinen, glühen.
Διδωμι, ich gebe.
Διερος, ρα, ρον, neu, frisch, naß, διερῳ ποδι, sogleich.
Δικη, ἡ, Gerechtigkeit, Billigkeit, Menschenliebe.
Δινεομαι, ich gehe umher.
Δινεω, ich drehe herum, wie einen Bohr.
Διος, göttlich; daher: schön, herrlich.
Διχα, in 2 Theile, zwiefach.
Δμωος, ὁ, der Sklav.
Δοαζομαι, ich überlege, bestimme.
Δολιος, listig, versteckt.
Δολιχαυλος, was lange Bogen, ein langes Rohr hat, lang.
Δολοφρονεω, ich fasse hinterlistige Anschläge.
Δομος, das Haus, die Wohnung.
Δορπον, το, die Mahlzeit.
Δορυ, το, das Holz. δουρα, δουρατα, alle hölzerne Instrumente, die zum Schiffe gehören. 2. Wurfspieße.
Δρηστειρα, ἡ, die Dienerin.
Δρυμον, το, der Wald.
Δρυς, υος, die Eiche.
Δυναμις, , ἡ das Vermögen.
Δυστηνος, elend, unglücklich.
Δωρον, το, das Geschenk.
Δωτινη, ἡ, das Geschenk, die Gabe.

E.

Εγγυθεν, nahe, in der Nähe.
Εγγυς, nahe.
Εγειρομαι, ich wache auf.
Εγκατα, τα, das Eingeweide.
Εγκεφαλος, das Gehirn.
Εγχειη, ἡ, das Spieß, Speer.
Εγχος, das Schwerdt, Spieß.
Εδω, ich esse, nage -- θυμον εδειν, bekümmert seyn.

Εεικοσορος, für εικοσορος, ein Schiff, das 20 Ruder hat, ein großes Schiff.
Εζομαι, ich sitze.
Ειδαρ, ατος, το, die Speise, das Essen.
Ειδομαι, ich scheine.
Εικελλω, ich lande an.
Εικω, ich bin ähnlich.
Ειλιπες, οδος, der seine Füße auf gewisse Art wirft; Beyw der Stiere.
Εἶμι, ich gehe.
Ειvι für εv.
Ειργω, für εεργω, ich feßle, halte zusammen, schließe ein.
Ειρος, die Wolle.
Ειροποκος, wolletragend, (von Schaafen gebr.)
Ειρυομαι, ich ziehe, für ερυομαι. auch: aufbehalten.
Ειρωταω für ερωταω, ich frage.
Εΐσκω, ich achte gleich, vergleiche.
Εισοκε, bis.
Εισδερκομαι, ich schaue an.
Εισοραω, ich sehe an. εισορασθαι, ansichtig werden.
Εισοχνεω, ich gehe nach, spüre nach.
Ειτι, ob wol, ob vielleicht.
Είω, έω, ich lasse.
Είως für ἕως, bis.
Ἑκατερθε, von beiden Seiten.
Εκκαλυπτεσθαι, abziehen, abstreifen, dem Wild die Haut.
Εκλυω, ich wickle heraus, erlöse.
Εκπαγλος, grausend hart.
Εκπιω, ich trin e aus.
Εκπεραω, durchlaufen, (vom Schiff, das über das Meer fährt.)
Εκσειω, ich presse, treibe aus.
Εκτελεω, ich vollende.
Εκτεμνω, ich schneide aus, als: die Aeste aus dem Stamm.
Εκτοσθεν, außerhalb, auch εκτοθεν
Εκφαινομαι, ich komme zum Vorschein.
Εκφημι, ich sage aus.
Εκφθιω - εκφθιομαι, verdorben seyn.
Ελαΐνεος, α, ον, was vom Oelbaum ist.
Ελαιον, το, das Oel.
Ελαφος, ὁ, der Hirsch.
Ελαχυς, εια, υ, klein.
Ελαω, ich bewege vor, hinein.
Ελεαιρω, ich habe Mitleiden.
Ελεεω, ich erbarme mich.
Ελευθω, ich komme.
Ελεγχιςος, tadelswürdig.
Ἑλιξ, krummgebogen, (Beyw. v. Stieren.)
Ελπομαι, ich hoffe.
Ελυω, ich bedecke.

Εμβαλλω - εμβαλεειν τας χειρας, die Hände anlegen.
Εμβρυον, το, das Junge.
Εμμενες, immerfort, beständig.
Εμπαζομαι, Rücksicht worauf nehmen, Wohlgefallen an etwas finden.
Εμπεδος, fest, unerschüttert.
Εμπευω, ich gebe ein, flöße ein.
Εμπλημι, ich fülle voll, in med. ich fülle mich voll, sättige mich.
Εναισιμος, recht, brav.
Εναμελγω, ich milche in ein Faß hinein.
Εναντιος, gegen einander über.
Ενδον, drinnen.
Ενδοκεως, sorgfältig.
Ενερειδω, anschlagen, hineinstoßen, hineinbohren.
Ενειμι, ich bin befindlich.
Ενερθε, unten.
Ενθα, von dort.
Ενι, für ενεσι.
Ενιαυτος, das Jahr.
Ενιαυω, ich halte mich in einem Orte auf.
Ενιπη, ἡ, der Vorwurf, Tadel.
Εννεωρος, neunjährig.
Εννημαρ, neun Tage lang.
Εννοσιγαιος, (Beyname Neptuns,) Erderschütterer.
Ενοπη, ἡ, die Stimme.
Ενοσιχθων, Erderschütterer. (Beyname Neptuns.)
Εντοσθε, εντοθε, innerhalb.
Ενυπερθε, unten.
Εξαιρεω, ich wähle aus.
Εξαλαοω, ich beraube jemanden des Gesichts.
Εξαπαταω, ich hintergehe.
Εξαυτις, noch einmal.
Εξελαυνω, oder εξελαω, ich treibe heraus.
Εξερεεινω, ich frage aus.
Εξερεω, ich sage aus, rede.
Εξερυω, ich ziehe heraus.
Ἑξῆς, nach der Reihe.
Εξοχα, vorzüglich, voraus.
Επαΐσσω, ich dringe auf jemanden ein.
Επερχομαι, ich komme hinzu, entgegen.
Επηετανος, reichlich, im Ueberfluß.
Επιβαινω, ich steige hinan, hinauf.
Επιδινεω, ich schwenke herum.
Επιειμενος, angethan, versehen.
Επικαρσιος, schief, nach einer schiefen Richtung hin.
Επιμαιομαι, ich fühle an, betaste.
Επιμασσομαι, ich untersuche, durch das Gefühl.
Επιπλεω, ich schiffe, schiffe weiter.
Επιπνεω, (vom Winde,) günstig wehen.

Επι-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-1192015415-318262150-14

Επιςαμαι, ich weiß, habe gelernt.
Επιτημητωρ, Vergelter, (Beyname Jupiters.)
Επιτιθεναι, aufpassen, den Deckel auf ein Gefäß thun.
Επιχεω, ich gieße über, ein.
Εποιχομαι, ich arbeite, beschäftige mich.
Ἑπομαι, ich folge.
Εποϱω, ich wiegle auf, wehe entgegen (vom Winde gebr.)
Επος, das Wort, die Bitte.
Εποτϱυνω, ich reize, treibe an, muntre auf.
Εϱατεινος, α, ον, freundschaftlich, liebenswürdig.
Εϱεθιζω, ich necke, zanke, streite.
Εϱειδω, ich spieße, hange an. εϱειδομαι, ich stütze mich.
